Msc. Dresd.
Da. 29.

http://digital.slub-dresden.de/ppn34684536X/1

http://digital.slub-dresden.de/ppn34684536X/2

I

tzung
.. ganz od.
en?, ganz
chen?)
Zweck der Be
(ist Veröffentlic
sichtigt und in wel

http://digital.slub-dresden.de/ppn34684536X/3

Sächs. Landesbibliothek - Dresden -

http://digital.slub-dresden.de/ppn34684536X/4

Ms. 546.c



# EXCERPTA EX ANTHOLOGIA GRAECORUM EPIGRAMMATUM QUAE EST IN BIBLIOTHECA IS. VOSSI

Cl. Salmasius e bibliotheca Palatina primus descripsit, & edere uoluit: sed Ios. Scaliger uitandae obscenitatis caussa dissuasit, lib. III. epist. CCXLV. p. 483.

---

Στράτωνος τοῦ σαρδιανοῦ

α' Ἐκ διὸς ἀρχώμεθα, καθ' ὡς εἴρηκεν ἄρατος. (sic)
Ὑμῖν δ' ὦ μοῦσαι σήμερον οὐκ ἐνοχλῶ.
Εἰ γὰρ ἐγὼ παῖδάς τε φιλῶ, καὶ παισὶν ὁμιλῶ,
Τοῦτο τί πρὸς μούσας τὰς ἑλικωνιάδας;

τοῦ αὐτοῦ.

β' Μὴ ζήτει δέλτοις ἐν ἐμοῖς πρίαμον παρὰ βωμοῖς,
Μηδὲ τὰ μηδείης πένθεα καὶ νιόβης,
Μηδ' ἴτυν ἐν θαλάμοις, καὶ ἀηδόνας ἐν πετάλοισιν.
(Ταῦτα γὰρ οἱ πρότεροι πάντα χύδην ἔγραφον)
Ἀλλ' ἱλαραῖς χαρίτεσσι μεμιγμένον ἡδὺν ἔρωτα
9. Καὶ βρόμιον. Τούτοις δ' ὀφρύες οὐκ ἔπρεπον.

τοῦ αὐτοῦ.

γ' Τῶν παίδων, διόδωρε, τὰ προσθέματ' εἰς τρία πίπτει
Σχήματα, καὶ τούτων μάνθαν' ἐπωνυμίας.
Τὴν ἔτι μὲν γὰρ (sic) ἄθικτον ἀκμὴν λάλου ὀνόμαζε
Κοκκωτὴν φῦσαν ἄρτι καταρχομένην.
Τὴν δ' ἤδη πρὸς χεῖρα σαλευομένην λέγε σαύραν,
Τὴν δὲ τελειοτέραν οἶδας, ἃ χρή σε καλεῖν.

τοῦ αὐτοῦ.

δ' Τοὺς λευκοὺς ἀγαπῶ, φιλέω δ' ἅμα τοὺς μελιχρώδεις
Καὶ ξανθούς, στέργω δ' ἔμπαλι τοὺς μέλανας.
Οὐδὲ κόρας ξανθὰς παραπέμπομαι, ἀλλὰ περισσῶς
Τοὺς μελανοφθάλμους αἰγλοφανεῖς τε φιλῶ.



http://digital.slub-dresden.de/ppn34684536X/5

τοῦ αὐτοῦ.

ε'. Ἀκμῇ δωδεκέτους ἐπιτέρπομαι, ἔστι δὲ τούτου.
Χὠ τρισκαιδεκέτης πουλὺ ποθεινότερος.
Χὠ τὰ δὶς ἑπτὰ νέμων γλυκερώτερον ἄνθος ἐρώτων.
Τερπνότερος δ' ὁ τρίτης πεντάδος ἀρχόμενος.
Ἑξεπκαιδέκατον (sic) δὲ θεῶν ἔτος, ἑβδόματον δὲ
Καὶ δέκατον ζητεῖν οὐκ ἐμόν, ἀλλὰ Διός.
Εἰ δ' ἐπὶ πρεσβυτέρους τις ἔχει πόθον, οὐκ ἔτι παίζει,
Ἀλλ' ἤδη ζητεῖ τὸν δ' ἀπαμειβόμενος.

τοῦ αὐτοῦ.

ς' Πρωκτὸς καὶ χρυσὸς τὴν αὐτὴν ψῆφον ἔχουσι,
Ψηφίζων δ' ἀφελῶς τοῦτό ποθ' εὗρον ἐγώ.
Σφιγκτὴρ οὐκ ἔστιν παρὰ παρθένῳ, οὐδὲ φίλημα
Ἁπλοῦν, οὐ φυσικὴ χρωτὸς εὐπνοΐη.
Οὐ λόγος ἡδὺς ἐκεῖνος ὁ πορνικός, οὐδ' ἀκέραιον
Βλέμμα, διδασκομένη δ' ἐστὶ χερειοτέρα.
Ψυχροῦνται δ' ὄπιθεν πᾶσαι, τὸ δὲ μεῖζον ἐκεῖνο
Οὐκ ἔστιν, ποῦ θῇς τὴν χέρα πλαζομένην.

τοῦ αὐτοῦ

ζ' Εἶδον ἐγώ τινα παῖδα ἐπανθοπλοκεῦντα κόρυμβον
Ἀντιπαρερχόμενος τὰ στεφανοπλόκια.
Οὐδ' ἄτρωτα παρῆλθον (sic), ἐπιστὰς δ' ἥσυχος αὐτῷ
Φημί, πόσου πωλεῖς τὸν σὸν ἐμοὶ στέφανον;
Μᾶλλον τῶν καλύκων ἐρυθαίνετο, καὶ κατακύψας (sic)
Φησί, μακρὰν χώρει, μή σε πατὴρ ἐσίδῃ.
Ὠνοῦμαι προφάσει στεφάνους, καὶ οἴκαδ' ἀπελθὼν
Ἐστεφάνωσα θεοὺς κεῖνον ἐπευξάμενος.

τοῦ αὐτοῦ

η' Ἐχθὲς ἔχων ἀνὰ νύκτα Φιλόστρατον οὐκ ἐδυνήθην
Κείνου πῶς εἴπω πάντα παρεχομένου.
Ἀλλ' ἐμὲ μηκέτ' (sic) ἔχοιτε φίλοι φίλον, ἀλλ' ἀπὸ πύργου
Ῥίψατ' ἐπεὶ λίην Ἀστυάναξ γέγονα.

θ'

τοῦ αὐτοῦ.

θ' Ψεύδεα μυθίζουσι, θεόκλεες, ὡς ἀγαθαὶ μὲν
Αἱ χάριτες, τρισσαὶ δ' εἰσὶ κατ' Ὀρχόμενον.
Πεντάκι γὰρ δέκα σεῖο περισκιρτῶσι πρόσωπα
τοξοβόλοι, ψυχέων θ' ἅρπαγες ἀλλοτρίων.

τοῦ αὐτοῦ.

ι' Τοὺς σοβαροὺς τούτους καὶ τοὺς περιπορφυροσήμους
Παῖδας ὅσους ἡμεῖς μὴ προσαφικόμεθα.
Ὥσπερ σῦκα πέτραισιν ἐπ' ἀκρολόφοισι πέπειρα
Ἔσθουσιν γῦπες, δίφιλε, καὶ κόρακες.

τοῦ αὐτοῦ.

ιά Εἴ σε φιλῶν ἀδικῶ, καὶ τοῦτο δοκεῖς ὕβριν εἶναι,
τὴν αὐτὴν κόλασιν καὶ σὺ φιλεῖ sic με λαβών.

τοῦ αὐτοῦ.

ιβ' Οὐ τέρπουσι κόμαι με περιασότεροί τε κίκιννοι,
Τέχνης, οὐ φύσεως, ἔργα διδασκόμενοι.
Ἀλλὰ παλαιστρίτου παιδὸς ῥύπος sic ὁ ψαφαρίτης
Καὶ χροιὴ μελέων σαρκὶ λιπαινομένη
Ἡδὺς, ἀκαλλώπιστος ἐμοὶ πόθος, ἠδὲ sic γονὶς sic
Μορφὴ θηλυτέρης ἔργον ἔχει Παφίης.

τοῦ αὐτοῦ.

ιγ' Εἰ Ζεὺς ἐκ γαίης θνητοὺς ἔτι παῖδας ἐς αἴθερα
Ἥρπαξεν γλυκεροῦ τὰ νέκταρος οἰνοχόους.
Αἰετὸς ἂν πτερύγεσσιν ἀγρίππαν sic τὸν καλὸν ἡμῶν
Ἤδη πρὸς μακάρων ἦγε διακονίας.
Ναὶ μὰ σὲ γάρ, κρονίδη κόσμου πάτερ, ἂν ἐσαθρήσῃς,
Τὸν Φρύγιον ψέξῃς αὐτίκα δαρδανίδαν.

τοῦ αὐτοῦ

ιδ' Εἰ μὴ νῦν κλεόνικος ἐλεύσεται, οὐκέτ' ἐκεῖνον
Δέξομ' ἐγὼ μελάθροις sic, οὐ μὰ τόν, οὐκ ὀμόσω.
Εἰ γὰρ ὄνειρον εἴδων οὐκ ἤλυθεν, εἶτα παρείη
Αὔριον, οὐ παρὰ τὴν σήμερον ὀλλύμεθα.

http://digital.slub-dresden.de/ppn34684536X/7

του αὐτοῦ.

ἴσ. πυκιναῖς

ιε' Ἄνθεσιν οὐ τόσσοισι φιλοζέφυροι χλοάουσι
Λειμῶνες πυκινοῖς (sic) ἦρος ἐν ἀγλαΐαις,
Ὅσσοις εὐγενέτας, Διονύσιε, παῖδας ἀθρήσεις,
Κειρῶν (sic) κυπρογένευς πλάσματα καὶ χαρίτων.
Ἔξοχα δ' ἐν τούτοις Μιλήσιος ἠνίδε θάλλει
Ὡς ῥόδον εὐόδμοις λαμπόμενον πετάλοις.
Ἀλλ' οὐκ οἶδεν, ἴσως ἐκ καύματος, ὡς καλὸν ἄνθος
Οὕτω τὴν ὥρην ἐκ τριχὸς ὀλλυμένην.

του αὐτοῦ.

ιϛ' Ὀφθαλμοὺς σπινθῆρας ἔχεις, θεόμορφε Λυκῖνε,
Μᾶλλον δ' ἀκτῖνας, δέσποτα, πυρσοβόλους.
Ἀντωπὸς βλέψαι βαιὸν χρόνον οὐ δύναμαί σοι,
Οὕτως ἀστράπτεις ὄμμασιν ἀμφοτέροις.
Καιρὸν γνῶθι, σοφὸν τῶν ἑπτά τις εἶπε, Φίλιππε,
Πάντα γὰρ ἀκμάζοντ' ἐστὶν (sic) ἐρασότερα.
Καὶ σικύος (sic) κήποισιν ἐπ' εὐύδροισιν ὁραθεὶς
Τίμιος εἶτα συῶν βρῶμα πεπαινόμενος.

ιζ' του αὐτοῦ.
Μισῶ [τὰ] (sic) δυσπερίληπτα φιλήματα καὶ μαχιμώδεις
Φωνάς, καὶ στεναρὴν ἐκ χερὸς ἀντίθεσιν,
Καὶ μὴν καὶ τόν, ὅτ' ἐστὶν ἐν ἀγκάσιν, εὐθὺ θέλοντα
Καὶ παρέχοντα χύδην, οὐ πάνυ δὴ τιθέλω (sic)
Ἀλλὰ τὸν ἐκ τούτων ἀμφοῖν μέσον, οἷον ἐκεῖνον
Τὸν καὶ μὴ παρέχειν εἰδότα καὶ παρέχειν.

του αὐτοῦ

ιη' Πτηνὸς ἔρως ἄγγειλέν με δι' ἠέρος, ἡνίκα, δᾶμι,
Γράμμα σοὶ εἶδον, ὅ μοι δεῦρο μολεῖν σ' ἔλεγεν.
Ῥίμφα δ' ἀπὸ σμύρνης ἐπὶ σάρδιας ἔδραμον, ἦ μου
Ὕστερον ἢ ζήτης ἔτρεχεν ἢ κάλαϊς.

του αὐτοῦ.

ιθ' Νῦν ἔαρ ἐστί, μετέπειτα θέρος, κἄπειτα τί μέλλεις
Κύριε βουλεῦσαι; καὶ καλάμη γὰρ ἔσῃ.

τοῦ αὐτοῦ.

Καὶ μισθοὺς αἰτεῖτε, διδάσκαλοι, ὡς ἀχάριστοι
Ἐστέ. τί γὰρ τὸ βλέπειν παιδία μικρὸν ἴσως,
Καὶ τούτοισι λαλεῖν, ἀσπαζομένους τε φιλῆσαι;
Τοῦτο μόνον χρυσοῦ ἄξιον οὐχ' ἑκατόν;
Πεμπέτω, εἴ τις ἔχει καλὰ παιδία, κἀμὲ φιλείτω,
Μισθὸν, καὶ παρ' ἐμοῦ λαμβανέτω τι θέλει.

τοῦ αὐτοῦ.

Οὐχὶ τὸ πῦρ κλέψας δέδεσαι, κακόβουλε Προμηθεῦ,
Ἀλλ' ὅτι τοῦ πηλοῦ τοῦ Διὸς ἠφάνισας.
Πλάττων ἀνθρώπους ἔβαλες τρίχας, ἔνθεν ὁ δεινὸς
Πώγων καὶ κνήμη παισὶ δασυνομένη.
Εἶτα δὲ διάρδαπτεν Διὸς αἰετὸς, ὃς Γανυμήδην
Ἥρπασ'. ὁ γὰρ πώγων ἐκ Διός ἐστ' ὀδύνη.

τοῦ αὐτοῦ.

Στεῖχε πρὸς αἰθέρα δῖον ἀπέρχεο παῖδα κομίζων,
Αἰετὲ, τὰς διφυεῖς ἐκπετάσας πτέρυγας.
Στεῖχε τὸν ἁβρὸν ἔχων Γανυμήδεα, μηδὲ μεθείης
Τὸν Διὸς ἡδίστων οἰνοχόον κυλίκων.
Φείδεο δ' αἱμάξαι κοῦρον γαμψώνυχι ταρσῷ,
Μὴ Ζεὺς ἀλγήσῃ τοῦτο βαρυνόμενος

τοῦ αὐτοῦ

Ἤδη μοι πολιαὶ αἱ ἐπὶ κροτάφοισιν ἔθειραι
Καὶ πέος ἐν μηροῖς ἀργὸν ἀποκρέμαται.
Ὄρχεις δ' ἄπρηκτοι. χαλεπὸν δέ με γῆρας ἱκάνει.
Οἴμοι, πυγίζειν οἶδα, καὶ οὐ δύναμαι.

τοῦ αὐτοῦ.

Οὐδέποτ' ἠελίου φάος ὄρθριον ἀντέλλοντος
Μίσγεσθαι ταύροις χρὴ φλογόεντα κύνα
Μήποτε καρποδόκου τῆς μητέρος ὑπαλείσῃς (sic)
Βρέξῃς (sic) τὴν λασίην Ἡρακλέους ἄλοχον.

Ἄδηλον
Anthol. lib. VII p. 630.
ubi paulo aliter ex.

τοῦ αὐτοῦ.

κε' Πέντ' αἰτεῖς, δέκα δώσω (sic), καὶ εἴκοσι δ' ἀντία δ' ἕξεις
Ἀρκεῖ σοι χρυσοῦς. ἤρκεσε καὶ Δανάῃ.

τοῦ αὐτοῦ.

κϛ' Ἄγκιστρον πεποίηκας, ἔχεις ἰχθὺν ἐμέ, τέκνον,
Ἕλκε μ', ὅπου βούλει. μὴ τρέχε, μή σε φύγω.

τοῦ αὐτοῦ.

κζ' Πρώην τὴν σαύραν ῥοδοδάκτυλον, ἄλκιμ', ἔδειξας
Νῦν αὐτὴν ἤδη καὶ ῥοδόπηχυν ἔχεις.

τοῦ αὐτοῦ.

ἴσ. Οἱ με, τ. π. ἀπολω-
λέ με, καὶ ἕξεις.

κη' Εἴ με τὸ πυγίζειν ἀπολώλε (sic), καὶ διὰ τοῦτο
Ἐκτρέφομαι ποδαγρῶν. Ζεῦς κρεμαστόν με πο[ιεῖ]

τοῦ αὐτοῦ.

ἴσ. μελίχρουν

κθ' Ἢν ἐσίδω τινὰ λευκόν, ἀπόλλυμαι, ἢν δὲ μελίχ[ρουν]
Καίομαι, ἢν ξανθόν, εὐθὺς ὅλος λέλυμαι.

τοῦ αὐτοῦ.

λ' Πᾶν ἄλογον ζῶον βινεῖ μόνον, οἱ λογικοὶ δὲ
Τῶν ἄλλων ζώων τοῦτ' ἔχομεν τὸ πλέον,
Πυγίζειν εὑρόντες. ὅσοι δὲ γυναιξὶ κρατοῦνται
Τῶν ἀλόγων ζώων οὐδὲν ἔχουσι πλέον.

τοῦ αὐτοῦ.

λα' Ζεῦγος ἀδελφειῶν με φιλεῖ (sic), οὐκ οἶδα, τίν' αὐτῶν
Δεσπόσυνον κρίνω. τοὺς δύο γὰρ φιλέω.
Χ' ὃ μὲν ἀποστείχει, ὃ δ' ὑπέρχεται. ἔστι δὲ τοῦ μὲν
Κάλλιστον τὸ παρόν, τοῦ δὲ τὸ λειπόμενον.

τοῦ αὐτοῦ.

λβ Οἷον ἐπὶ τρίπην ποτ' ἀπὸ κρήτης, Θεόδωρε,
Ἰδομενεὺς θεράποντ' ἤγαγε Μηριόνην.
Τοῖον ἔχω σε φίλον περιδέξιον, ἦ (sic) γὰρ ἐκεῖνος
Ἀλλὰ μὲν ἦν θεράπων, ἀλλὰ δ' ἐταιρόσυνος.
Καὶ σὺ τὰ μὲν βιότοιο πανήμερος ἔργα τελεῖς μ[οι]
Νῦν ἄγε βινῶμεν καὶ δία Μηριόνην.

λγ'

http://digital.slub-dresden.de/ppn34684536X/10

τοῦ αὐτοῦ.

λγ' Βουποίητε μέλισσα, πόθεν μέλι τοὐμὸν ἰδοῦσα
Παιδὸς ἐφ' ὑαλέην ὄψιν ἀποστέλλεαι;
Οὐχ παύσῃ [sic] βομβεῦσα, καὶ ἀνθολόγοισι θέλουσα καὶ παύσῃ
Ποσσὶν ἐφάψασθαι χρωτὸς ἀκηρασίου;
Ἔρρ' ἐπὶ σοὺς μελίπαιδας, ὅποι ποτὲ, δραπέτη, σίμβλους,
Μή σε λάβω· κἀγὼ κέντρον ἔρωτος ἔχω.

τοῦ αὐτοῦ.

λδ' Ἐκ ποίου ναοῦ, πόθεν ὁ στόλος οὗτος ἐρώτων; ἢ κ. λαοῦ.
Πάντα καταστίλβων ἄνδρες ἀμαυρὰ βλέπω.
Τίς τούτων δοῦλος, τίς ἐλεύθερος, οὐ δύναμ' εἰπεῖν,
Ἄνθρωπος τούτων κύριος οὐ δύναται,
Ἢ δ' ἔστιν μείζων πολλῷ Διὸς, ὃς Γανυμήδην
Ἔσχε μόνον, θεὸς ὢν, πηλίκος, ὃς σὲ [sic] πόσους.

τοῦ αὐτοῦ.

λε' Μήτε λίην στυγνὸς παρακέκλισο, μήτε κατηφὴς,
Δίφιλε, μὴ [sic] δείσῃς παιδίον ἐξ ἀγέλης.
Ἔστω που προμνηστικὰ λαλήματα, καὶ τὰ πρὸ ἔργων
Παίγνια, πληκτισμοὶ, κνίσμα, φίλημα, λόγος.

τοῦ αὐτοῦ.

λς' Μὴ κρύπτῃς τὸν ἔρωτα, Φιλόκρατες, αὐτὸς ὁ δαίμων
Λακτίζειν κραδίην ἡμετέρην ἱκανός.
Ἀλλ' ἱλαροῦ μετάδος τι φιλήματος, ἔσθ' ὅτε καὶ σὺ
Αἰτήσεις τοιάνδ' ἐξ ἑτέρων χάριτα.

τοῦ αὐτοῦ.

λζ' Παῖς τις ὅλος ἁπαλὸς τοῦ γείτονος οὐκ ὀλίγως με
Κνίζει [sic], πρὸς τὸ θέλειν δ' οὐκ ἀμύητα γελᾷ. ἴσ. πρὸς
Οὐ πλεῦν δ' ἐστὶν ἐτῶν δυοκαίδεκα, νῦν ἀφύλακτοι
Ὄμφακες, ἢν δ' ἀκμάσῃ φρούρια καὶ σκόλοπες.

http://digital.slub-dresden.de/ppn34684536X/11

Τοῦ αὐτοῦ.

λη' Τρεῖς ἀριθμῷ τοὺς πάντας ὑπὲρ λέχος, ὧν δύο δρῶσι
Καὶ δύο πάσχουσιν. θαῦμα δοκῶ τι λέγειν.
Καὶ μὴν οὐ ψεῦδος. δυσὶν γὰρ ὁ μέσσος ὑπουργεῖ
Τέρπων ἐξόπιθεν, πρόσθε δὲ τερπόμενος.

Τοῦ αὐτοῦ.

λθ' Εἰ μὲν ἔφυς ἀμύητος (sic) ἀκμὴν ὑπερ, οὔ σ' ἔτι πεί
Ὀρθῶς αἰδεῖσαι δεινὸν ἴσως δοκέων
Εἰ δέ σε δεσποτικὴ κοίτη πεποίηκε τεχνίτην,
Τί φθονερῶς δοῦναι ταῦτα λαβὼν (sic) ἐλέγω;
Ὃς μὲν γὰρ καλέσας ἐπὶ τὸ χρέος, εἶτ' ἀπολύ
Ἔνδον κύριος ὢν μηδὲ λόγον μεταδούς.
Ἄλλη (sic) δ' ἔνθα τρυφῇ (sic) παίζεις ἴσα κοινὰ λαλη
Τ' ἆλλα δ' ἐρωτηθεὶς κ' οὐκ ἐπιτασσόμενος.

Τοῦ αὐτοῦ.

μ' Ἤν τινα καὶ παριδεῖν ἐθέλω καλὸν ἀντιπαντῶντα,
Βαιὸν ὅσον παραβὰς εὐθὺ μεταστρέφομαι.

Τοῦ αὐτοῦ.

Est in Antholog. lib. VII. p. 613.

μα' Εἰ κάλλει καυχᾷ, γίγνωσκε (sic), ὅτι καὶ ῥόδον ἀνθεῖ
Ἀλλὰ μαρανθὲν ἄφνω σὺν κοπρίοις ἐρίφη.
Ἄνθος γὰρ καὶ κάλλος ἴσον χρόνον ἐστὶ λαχόντα
Ταῦτα δ' ὁμῆ (sic) φθονέων ἐξεμάρανε χρόνος.

Τοῦ αὐτοῦ.

Est in Antholog. lib. VII. p. 617. sed Meleagro ibi adscribitur.

μβ' Εἰ μὲν γηράσκει τὸ καλόν, μετάδος, πρὶν ἀπέλθῃ.
Εἰ δὲ μένῃ, τί φοβῇ τοῦθ', ὃ μένει, διδόναι

---

Τέλος τῶν στράτωνος τοῦ σαρδιανοῦ.

μγ' Μελεάγρου.

---

Μελεάγρου.

γ' Οὔριος ἐμπνεύσας ναύταις νότος, ὦ δυσέρωτες,
Ἥμισυ μεῦ ψυχᾶς ἅρπασεν ἀνδράγαθον.
Τρὶς μάκαρες νᾶες, τρὶς δ᾽ ὄλβια κύματα πόντου
Τετράκι δ᾽ εὐδαίμων παιδοφορῶν ἄνεμος.
Εἴτ᾽ ἦν δελφὶς, ἵν᾽ ἐμοῖς βαστακτὸς ἐπ᾽ ὤμοις
Πορθμευθεὶς ἐσίδῃ τὰν γλυκόπαιδα ῥόδον.

τοῦ αὐτοῦ.

δ' Ἀβρὸς [sic], ναὶ τὸν ἔρωτα, τρέφει τύρος, ἀλλὰ μυΐσκος — ἴσ. Ἀβροὺς
Ἔσβεσεν ἐκλάμψας ἀστέρας ἠέλιος.

τοῦ αὐτοῦ.

ε' Εἰ ζεὺς κεῖνος ἔτ᾽ ἐστὶν, ὁ γαὶ [sic] γανυμήδεος ἀκμὴν — ἴσ. ἐστ᾽ ὁ πάλαι
Ἀρπάξας, ἵν᾽ ἔχῃ νέκταρος οἰνοχόον.
Κἠμοὶ τὸν καλὸν ἐστὶν ἀπὸ σπλάγχνοισι μυΐσκον
Κρύπτειν. μή με λάθῃ παῖδα λαβὼν πτέρυγας.

τοῦ αὐτοῦ.

ς' Στήσομ᾽ ἐγὼ καὶ ζηνὸς ἐναντίον, ἤ σε, μυΐσκε,
Ἀρπάζειν [sic] ἐθέλοι νέκταρος οἰνοχόον.
Καί τοι πολλάκι αὐτὸς ἐμοὶ δ᾽ [sic] ἔλεξε, τί ταρβεῖς [sic];
Οὐ σε βαλῶ ζήλοις [sic], οἶδα παθὼν ἐλεεῖν.
Χ᾽ ὦ μὲν δὴ τάδε φησὶ, ἐγὼ δ᾽ ἢν μυῖα παράπτῃ
Ταρβῶ. μὴ ψεύσῃς ζεὺς ἐπ᾽ ἐμοὶ γέγονεν.

τοῦ αὐτοῦ.

ζ' Ἢν τι πάθω, κλεόβουλε, (τί γὰρ πλέον ἐν πυρὶ παίδων
Βαλλόμενος κεῖμαι λείψανον ἐν σποδιῇ)
Λίσσομ᾽. ἐμ᾽ [sic] ἀκρήτῳ μέθυσον, πρὶν ὑπὸ χθόνα θέσθαι,
Κάλπιν ἐπιγράψας [sic], ΔΩΡΟΝ. ΕΡΩC. ΑΙΔΗΙ — ἴσ. Κάλπιν ἐπιγρ.



http://digital.slub-dresden.de/ppn34684536X/13

sic τοῦ αὐτοῦ.

μη' Α κύπρις [ἁ] θήλεια γυναικομανῆ φλόγα βάλλει. λ'
Ἄρσενα δ' αὐτὸς ἔρως ἵμερον ἡνιοχεῖ.
γράφεται ἐρᾶν. Ποῖ ῥέψω; ποτὶ παῖδ', ἢ sic μητέρα; φαμὶ δ' κ' αὐτὰ
Κύπριν ἐρᾶν, νικᾷ δὲ [τὸ] θρασὺ παιδάριον.

τοῦ αὐτοῦ.

μθ' Τόν με πόθοις ἄτρωτον ὑπὸ στέρνοισι μυΐσκος νέ
Ὄμμασι τοξεύσας, τοῦτ', ἐβόησεν ἔπος.
Τὸν θρασὺν εἷλον ἐγώ. τὸ δ' ἐπ' ὀφρύσι κεῖνο φρύαγ(μα)
Σκηπτροφόρον σοφίας ἠνίδε ποσσὶ πατῶ.
Τῷ δ' ὅσον ἀμπνεύσας τόδ' ἔφην, φίλε κοῦρε, τὶ
Καὐτὸν ἀπ' οὐλύμπου ζῆνα καθεῖλεν ἔρως. θάμβος sic

τοῦ αὐτοῦ.

ν' Ἓν (ἡ) καλὸν οἶδα, τὸ πᾶν sic, ἕν μοι μόνον οἶδε τὸ λίχ(νον) νς'
Ὄμμα, μυΐσκον ὁρᾶν, τ' ἄλλα δὲ τυφλὸς ἐγώ.
Πάντα δὲ κεῖνος ἐμοὶ φαντάζεται. ἆρ' sic ἐσορῶσιν
Ὀφθαλμοὶ ψυχῆς πρὸς χάριν οἱ κόλακες.

τοῦ αὐτοῦ.

να' Ὁ ζύφερος διόδωρος ἐς ἠιθέους φλόγα βάλλει.
Ἤγρευται λαμυροῖς ὄμμασι τιμαρίου
Τὸ γλυκύπικρον ἔρωτος ἔχων βέλος, ἦν sic τόδε καιν(όν) νζ'
Θάμβος ὁρῶ, φλέγεται πῦρ πυρὶ καιόμενον.

τοῦ αὐτοῦ

νβ' Ἤστραψε γλυκὺ κάλλος, ἰδοὺ φλόγας ὄμμασι βάλλ(ει)
Ἆρα κεραυνομάχαν παῖδ' ἀνέδειξεν ἔρως.
Χαῖρε πόθων ἀκτῖνα φέρων θνατοῖσι, μυΐσκε,
Καὶ λάμποις ἐπὶ γῇ πύρσος ἐμοὶ φιλίας.

τοῦ αὐτοῦ sic

νγ' Βεβλήσθω κύβος. εἰ ἅπτε, πορεύσομαι, ἠνίδε τόλμας
Οἰνοβαρές. τίν' ἔχεις φροντίδα, κωμάσομαι
Κωμάσομαι, ποῖ, θυμέ, τρέπῃ; τί δ' ἔρωτι λογισμ(ός) νη'
sic Ἅπτε τάχος σπουδῇ πρὸς τὲ λόγους μελέτη.
Ἐρρίφθω σοφίας ὁ πολὺς φθόνος, ἓν μόνον οἶδα
Τοῦθ', ὅτι καὶ ζηνὸς λῆμα καθεῖλεν ἔρως.

νδ'

http://digital.slub-dresden.de/ppn34684536X/14

τοῦ αὐτοῦ.

νδ' Κύπρις ἐμοὶ ναύκληρος, Ἔρως δ' οἴακα φυλάσσει,
Ἄκρον ἔχων ψυχῆς ἐν χερὶ πηδάλιον.
Χειμαίνει δ' ὁ βαρὺ πνεύσας πόθος, οὕνεκα δὴ νῦν
Παμφύλῳ παίδων νήχομαι ἐν πελάγει.

τοῦ αὐτοῦ.

νέ Ὦ Χάριτες τὸν καλὸν Ἀρισταγόρην ἐσιδοῦσαι
Ἀντίον εἰς τρυφερὰς ἠγκαλίσασθε χέρας.
Οὕνεκα καὶ μορφᾷ βάλλει φλόγα, καὶ γλυκυμυθεῖ
Καίρια, καὶ σιγῶν ὄμμασι τερπνὰ λαλεῖ.
Τηλόθι μοὶ πλάζοιτο (sic), τί δὲ πλέον, ὡς γὰρ Ὄλυμπον
Ζεῦς (sic), νέον οἶδεν ὁ παῖς μακρὰ κεραυνοβολεῖν.

τοῦ αὐτοῦ.

νς' Ἡδύ τι μοὶ διὰ νυκτὸς ἐνύπνιον ἁβρὰ γελῶντα
Ὀκτωκαιδεκέτη παῖδα μετ' ἀγκαλίσι
Ἦγ' Ἔρως ὑπὸ χλαῖναν. ἐγὼ δ' ἁπαλῷ περὶ χρωτὶ
Cτέρνα βαλὼν κενεὰς ἐλπίδας ἐδρεπόμην.
Καὶ μευ νῦν θάλπει μνήμην πόθος. ὄμμασι δ' ὕπνον
Ἀγρευτὴν δεινοῦ φάσματος αἰὲν ἔχω.
Ὦ δυσέρως ψυχὴ παῦσαί ποτε, καὶ δι' ὀνείρων
Εἰδώλοις κάλλευς κωφὰ χλιαινομένη.

τοῦ αὐτοῦ.

νζ' Εὐόδιος στείχων τὸ μεσαμβρινὸν εἶδεν Ἄλεξιν,
Ἀρτικόμαν, καρπὸν κειρόμενον θέρεος.
Διπλαῖ δ' ἀκτῖνές με κατέφλεγον, αἱ μὲν Ἔρωτος
Παιδὸς. ἀπ' ὀφθαλμῶν, αἱ δὲ παρ' ἠελίου.
Ἀλλ' αἱ μὲν νὺξ αὖθις ἐκοίμισεν, ἃς δ' ἐν ὀνείροις
Εἴδωλον μορφῆς μᾶλλον ἀνεφλόγισεν.
Λυσίπονος δ' ἑτέροις ἐπ' ἐμοὶ πόνον ὕπνος ἔτευξεν,
Ἔμπνουν πῦρ ψυχῇ κάλλος ἀπεικονίσας.

τοῦ αὐτοῦ.

νή Σοί με πόθον, δέσποινα θεῇ (sic) πόρε, σοί με θεόκλεις
Ἀβροπέδιλος Ἔρως γυμνὸν ὑπεστόρεσεν,

ἴσ. Σοί με, πόθων δέσποινα θεὴ πό-
ρε, σοί με θεό-
κλεις

Ξεῖνον ἐπὶ ξείνης δαμάσας ἀλύτοισι χαλινοῖς
Ἱμείρω δὲ τυχεῖν ἀκλινέος φιλίας.
Ἀλλὰ σὺ τὸν στέργοντ' ἀπαναίνεαι, οὐδέ σε θέλγει
Οὐ χρόνος, οὐ ξυνῆς σύμβολα σωφροσύνης.
Ἵλαθ' ἄναξ, ἵλαθι· σὲ γὰρ θεὸν ὥρισε δαίμων.
Ἐν σοὶ καὶ ζωῆς πείρατα, καὶ θανάτου.

τοῦ αὐτοῦ.

ἴσ. πρυμνήσι'

νθ' Ἐν σοὶ τ' ἀμά, Μυΐσκε, βίου στρύμνησι (sic) ἀνῆπται,
Ἐν σοὶ καὶ ψυχῆς πνεῦμα τὸ λειφθὲν ἔτι.
Ναὶ γὰρ δὴ τὰ σά, κοῦρε, τὰ καὶ κωφοῖσι λαλεῦντα
Ὄμματα, καὶ μὰ τὸ σὸν φαιδρὸν ἐπισκύνιον,
Ἢν μοι συννεφὲς ὄμμα βάλῃς ποτέ, χεῖμα δέδορκα·
Ἢν δ' ἱλαρὸν βλέψῃς, ἡδὺ τέθηλεν ἔαρ.

τοῦ αὐτοῦ.

ἴσ. μὲν, ἢ, δ'

ξ' Χειμέριον μὲν πνεῦμα φέρει γ' ἐπὶ σοί με, Μυΐσκε,
Ἀρπαστὸν κώμοις ὁ γλυκύδακρυς Ἔρως.
Κυμαίνει δὲ βαρὺς πνεύσας πόθος, ἀλλά μ' ἐς
Δέξαι τὸν ναύτην Κύπριδος ἐν πελάγει. σόρμον

τοῦ αὐτοῦ.

ξα' Δημώ λευκοπάρειε, σὲ μέν τις ἔχων ὑπὸ χρωτὶ
Τέρπεται, ἁ δ' ἐν ἐμοὶ νῦν στενάχει κραδία.
Εἰ δέ σε σαββατικὸς κατέχει πόθος, οὐ μέγα θαῦμα·
Ἔστι καὶ ἐν ψυχροῖς σάββασι θερμὸς ἔρως.

τοῦ αὐτοῦ.

ξβ' Ἓν τόδε, παμμήτειρα θεῶν, λίτομαί σε, φίλη νύξ,
Ναὶ λίτομαι, κώμων σύμπλανε πότνια νύξ·
Εἴ τις ὑπὸ χλαίνῃ βεβλημένος Ἡλιοδώρας
Θάλπεται, ὑπναπάτῃ χρωτὶ χλιαινόμενος,

κοι' κωμάσθω.

Κωμάσθω μὲν λύχνος, ὁ δ' ἐν κόλποισιν ἐκείνης
Ριπτασθεὶς κείσθω δεύτερος Ἐνδυμίων.

ξγ'

τοῦ αὐτοῦ.

ξγ' Ὄρθρε, τί μοι, δυσέραστε, ταχὺς περὶ κοῖτον ὑπέστης,
Ἄρτι φίλης Δημοῦς χρωτὶ χλιαινομένῳ;
Εἴθε πάλιν στρέψας ταχινὸν δρόμον ἕσπερος εἴης,
Ὦς γλυκὺ φῶς βάλλων εἰς ἐμὲ πικρότατον.
Ἤδη γὰρ καὶ πρόσθεν ἐπ᾽ Ἀλκμήνῃ Διὸς ἦλθες
Ἀντίος, οὐκ ἀδαὴς δ᾽ ἐστὶ παλινδρομίης.

τοῦ αὐτοῦ.

ξδ' Ἄνθεμά σοι Μελέαγρος ἑὸν συμπαίκτορα λύχνον,
Κύπρι φίλη, μύστην σῶν θέτο παννυχίδων.

τοῦ αὐτοῦ.

ξε' Ἢν ἐσίδω Θήρωνα, τὰ πάνθ᾽ ὁρῶ, ἢν δὲ τὰ πάντα
Βλέψω, τὸν δὲ μὴ (sic) τ᾽ ἄμπαλιν, οὐδὲν ὁρῶ. ἴσ. τὸν δὲ μὴ, οὔτ᾽ ἔμπαλιν οὐ. ὁ. In Antholog. lib. VII. p. 629. est, Τὸν δέγε μὴ, τοὔμπαλι[ν]

τοῦ αὐτοῦ.

ξϛ' Σιγῶν Ἡράκλειτος ἐν ὄμμασι τοῦτ᾽ ἔπος αὐδᾷ,
Καὶ Ζηνὸς φλέξω πῦρ τὸ κεραυνοβόλον.
Ναὶ μὴν καὶ Διόδωρος ἐνὶ στέρνοις τόδε φωνεῖ
Καὶ πέτρον (sic) τήκει χρωτὶ χλιαινόμενον.
Δύστανος παίδων ὃς ἐδέξατο τοῦ μὲν ἀπ᾽ ὄσσων
Λαμπάδα, τοῦ δὲ πόθοις τυφόμενον γλυκὺ πῦρ.

τοῦ αὐτοῦ.

ξζ' Εἰ χλαμύδ᾽ εἶχεν ἔρως, καὶ μὴ πτερὰ, μηδ᾽ ἐπὶ νώτων Facit chlamydatum Sappho apud Pollucem lib. X. Virg. I. Aen. 715. Catullus LXIIII. 133.
Τόξα δὲ καὶ φαρέτραν, ἀλλ᾽ ἐφόρει πέτασον.
Ναὶ ^ τὸν ἀβρὸν ἔφηβον ἐπόμνυμαι, Ἀντίοχος μὲν ^ ἴσ. προσθετέον τὸ, μὰ
Ἦν ἄρ᾽ ἔρως, ὁ δ᾽ ἔρως τ᾽ ἄμπαλιν Ἀντίοχος.

τοῦ αὐτοῦ

ξη' Διψῶν ὡς ἐφίλησα θέρευς ἁπαλόχροα παῖδα,
Εἶπα τότ᾽ αὐχμηρὰν δίψαν ἀποπροφυγών:
Ζεῦ πάτερ, ἆρα φίλημα τὸ νεκτάρεον Γανυμήδευς
Πίνεις, καὶ τόδε σοι χείλεσιν οἰνοχοεῖ:
Καὶ γὰρ ἐγὼ τὸν καλὸν ἐν ἠιθέοισι φιλήσας
Ἀντίοχον, ψυχῆς ἡδὺ πέπωκα μέλι.

http://digital.slub-dresden.de/ppn34684536X/17

## Καλλιμάχου.

Sunt tria haec Callimachi et in Anthologia, et in Callimachi fragmentis, tit. <u>Epigrammata</u>.

ξθ' Ω'γρευτὴς ἐπίκυδες ἐν οὔρεσι πάντα λαγωὸν
Διφᾷ, καὶ πάσης ἴχνια δορκαλίδος,
Στείβῃ καὶ νιφετοῖς (sic) κεχαρημένος ἢν (sic) δέ τις εἴπῃ
Τῆ (sic), τόδε βέβληται θηρίον, οὐκ ἔλαβεν.
Χ' οὐμὸς ἔρως τοιόσδε. τὰ μὲν φεύγοντα διώκειν
Οἶδε, τὰ δ' ἐν μέσσῳ κείμενα παρπέταται.

τοῦ αὐτοῦ.

ο' Τέσσαρες αἱ Χάριτες, ποτὶ γὰρ μία ταῖς τρισὶ κείναις
Ἀρτί ποτ' ἐβλάσθη, κἤτι μύροισι νοτεῖ.
Εὐαίων ἐν πᾶσιν ἀρίζηλος Βερενίκα,
Ἆς ἄτερ οὐκ αὐταὶ ταὶ Χάριτες Χάριτες.

τοῦ αὐτοῦ.

οα' Ὤμοσε Καλλίγνωτος Ἰωνίδι, μήποτ' ἐκείνης
Ἕξειν μήτε φίλον κρέσσονα, μήτε φίλην.
Ὤμοσεν: ἀλλὰ λέγουσιν ἀληθέα, τοὺς ἐν ἔρωτι
Ὅρκους μὴ δύνειν (sic) οὔατ' ἐς ἀθανάτων.
Νῦν δ' ὁ μὲν <u>ἀρσενικοῖς</u> θέρεται πυρὶ, τῆς δὲ ταλαί(νης)
Νύμφης, ὡς Μεγαρέων, οὐ λόγος, οὐδ' ἀριθμός.

In omnibus editis ταῖς ἄλλης δὴ, quod a monachisco.

## ἀρχαίου.

οβ' Πρώταρχος καλός ἐστι, καὶ οὐ θέλει, ἀλλὰ θελήσει
Ὕστερον: ἡ δ' ὥρη, λαμπάδ' ἔχουσα, τρέχει.

τοῦ αὐτοῦ

ογ' Η κνήμη, Νίκανδρε, δασύνεται, ἀλλὰ φύλαξαι,
Μή σε καὶ ἡ πυγὴ ταὐτὰ λαθοῦσα λάθῃ:
Καὶ γνώσῃ φιλέοντος ὅσον σπάνις: ἀλλ' ἔτι καὶ νῦν
Τῆς ἀμεταβλήτου φρόντισον ἡλικίης.

οδ'

http://digital.slub-dresden.de/ppn34684536X/18

αὐτομέδοντος.

ροδʹ Πρὸς τὸν παιδοτρίβη.. (sic) δημήτριον ἐχθὲς ἐδείπνουν

Πάντων ἀνθρώπων τὸν μακαριστότατον.

Εἷς αὐτοῦ κατέκειθ' ὑποκόλπιος, εἷς ὑπὲρ ὦμον,

Εἷς ἔφερεν τὸ φαγεῖν, εἷς δὲ πιεῖν ἐδίδου. γρ. καὶ, φαγεῖν

Η τετρὰς ἡ περίβλεπτος: ἐγὼ παίζων δὲ πρὸς

Φημὶ, σὺ καὶ νύκτωρ, φίλτατε, παιδοτριβεῖς [αὐτὸν

τοῦ αὐτοῦ.

ροεʹ Τὴν ἀπὸ τῆς ἀσίης ὀρχηστρίδα, τὴν κακοτέχνοις

Σχήμασιν ἐξ ἁπαλῶν κινυμένην (sic) ὀνύχων,

Αἰνέω, οὐχ ὅτι πάντα ποθ' αἴνεται (sic), οὐδ' ὅτι βάλλει γρ. καὶ παθαίνεται

Τὰς ἁπαλὰς ἁπαλῶς ὧδε καὶ ὧδε χέρας.

Ἀλλ' ὅτε καὶ τρίβακον περὶ πάσσαλον ὀρχήσασθαι

Οἶδε, καὶ οὐ φεύγει γηραλέας ῥυτίδας.

Γλωττίζει, κνίζει, περιλαμβάνει, ἢν δ' ἐπιρίψῃ

Τὸ σκέλος, ἐξ ᾅδου τὴν κορύνην ἀνάγει.

ἀλκαίου μιτιληναίου (sic).

ροςʹ Τλήμονες, οἷς ἀνέραστος ἔφυ βίος, οὐδὲ γὰρ ἔρξαι

Εὐμαρὲς, οὔτ' εἰπεῖν ἐστί τι νόσφι πόθων.

Καὶ γὰρ ἐγὼ νῦν εἰμὶ λίην βραδὺς, εἰ δ' ἐσίδοιμι

Ξεινόφιλον, στεροπῆς πτήσομαι ὀξύτερος.

Τοὔνεκεν οὐ φεύγειν γλυκὺν ἵμερον, ἀλλὰ διώκειν,

Πᾶσι λέγω: ψυχῆς ἐστὶν ἔρως ἀκόνη.

ἰουλίου λεωνίδου.

ροζʹ Ο ζεὺς αἰθιόπων πάλι τέρπεται εἰλαπίναισιν,

Η χρυσὸς δανάης ἔρπυσεν (sic) ἐς θαλάμους.

Θαῦμα γάρ: εἰ, περίανδρον ἰδὼν, οὐχ ἥρπασε γαίης

Τὸν καλόν: ἢ φιλόπαις οὐχ ἔτι νῦν ὁ θεός. γρ. οὐκέτι

http://digital.slub-dresden.de/ppn34684536X/19

Σκυθίνου. [πῦρ,

ἠλαί, πλήρης.
ἠλαί, πλήρης.

οη' Ἦλθέν μοι μέγα θαῦμα, μέγας πόλεμος, μέγα μοι
Ἠλίασος πλήρης τῶν ἐς ἔρωτ' ἐλέων:
Αὐτὰ τὰ χεῖρ' ἔχων ἐκπεφίληκα, καὶ νῦν τούτων
Πάσας τὰς μικρὰς καὶ μεγάλας sic χάριτας.
Καὶ πρὸς ἀναγνῶναι φωνὴν μέλι, καὶ τὸ φιλῆσαι
Χεῖλεα, καὶ τὸ λαβεῖν ἔνδον ἀμεμπτότατον.
Καὶ τί πάθω; φασὶν γὰρ ὁρᾶν sic μόνον, ἢ γ' ἀγρυπνήσω
Πολλάκι τῇ κενεῇ κύπριδι χειρομαχῶν.

---

ἀσκληπιάδου

Est in antholog. lib. VII. p. 629. sed deest auctoris nomen, et ultimum praeterit distichum.

οθ' Πῖν', ἀσκληπιάδη, τί τὰ δάκρυα ταῦτα; τί πάσχεις;
Οὐ σὲ μόνον χαλεπὴ κύπρις ἐληΐσατο,
Οὐδ' ἐπὶ σοὶ μούνῳ κατεθήκατο τόξα καὶ ἰοὺς
Πικρὸς ἔρως. τί ζῶν ἐν σποδιῇ τίθεσαι;
Πίνωμεν βάκχου ζωρὸν πόμα, δάκτυλος ἀώς
Ἢ πάλι κοιμισὰν sic λύχνον ἰδεῖν μένομεν.
Πίνωμεν γαλερῶς sic: μετά τοι χρόνον οὐκέτι πουλὺν
Σχέτλιε, τὴν μακρὰν νύκτ' ἀναπαυσόμεθα.

---

ἰσ. Γλαύκου, ἢ, πλάγκου.

π' Ἦν ὅτε παῖδας (γλαύκου sic) ἔπειθε πάλαι ποτὲ δῶρα φιλεῦντας
Ὄρτυξ, καὶ ῥαπτὴ σφαῖρα, καὶ ἀστράγαλοι. [τας
Νῦν δὲ λοπάς, καὶ κέρματα, παίγνια δ' οὐδὲν ἐκεῖνα
Ἰσχύει: ζητεῖτ' ἄλλο τι παιδοφίλαι sic.

---

ἀσκληπ. ἢ ποσιδίππ. [μων

πα' Εἰ καθ' ὕπερθε λάβοις χρύσεα πτερά, καὶ σοῦ ἀπ' ὤ
Τόξον τ' ἀργυρέη ἰοδόκος φαρέτρη:
Καὶ στάιης παρ' ἔρωτα φιλάγλαον: οὐ μὰ τὸν ἑρμῆν,
Οὐδ' αὐτὴ κύπρις γνώσεται, ὃν τέτοκε.

πβ' τοῦ αὐτοῦ.

http://digital.slub-dresden.de/ppn34684536X/20

τοῦ αὐτοῦ.

β' Εἰ πτερά σοι προσέκειτο, καὶ ἐν χερὶ τόξα καὶ ἰοί,
Οὐκ ἂν ἔρως ἐγράφη κύπριδος, ἀλλὰ σύ, παῖ.

---

πολυστράτου.

πγ' Διασὸς ἔρως αἴθει ψυχὴν μίαν, ὦ τὰ περισσὰ
Ὀφθαλμοὶ πάντῃ πάντα κατοσσόμενοι,
Εἴδετε τὸν χρυσέαισι περίβλεπτον χαρίτεσσιν
Ἀντίοχον λιπαρῶν ἄνθεμον ἠϊθέων.
Ἀρκείτω· τί τὸν ἡδὺν ἐπηγάγεθε (sic) καὶ ἁβρὸν
Στασικράτη παφίης ἔρνος ἰοστεφάνου.
Καίεσθε, τρύχεσθε, καταφλέχθητέ ποτ' ἤδη:
Οἱ δύο γὰρ ψυχὴν οὐκ ἂν ἕλοιτε μίαν.

---

μακηδονίου.

δ' Τήν ποτε βακχεύουσαν ἐν εἴδεσι θηλυτεράων,
Τὴν χρυσοκροτάλῳ σφομένην σπατάλῃ,
Γῆρας ἔχει, καὶ νοῦσος ἀμήχανος, οἱ δὲ φιληταὶ,
Οἱ ποτε τριλλίστως ἀντίον ἐρχόμενοι,
Νῦν μέγα πεφρίκασι. τὸ δ' αἰγοσέληνον ἐκεῖνο
Ἐξέλιπεν, συνόδου μηκέτι γινομένης.

---

ῥιανοῦ.

πε' Ἰξῷ δεξιόνικος ὑπὸ χλωρῇ πλατανίστῳ
Κόσσυφον ἀγρεύσας εἷλε κατὰ πτερύγων.
Χ' ὡ μὲν ἀναστενάχων ἀπεκώκυεν ἱερὸς ὄρνις:
Ἀλλ' ἐγώ, ὦ φίλ' ἔρως καὶ θαλεραὶ χάριτες,
Εἴην καὶ κίχλη καὶ κόσσυφος, ὡς ἂν ἐκείνου
Ἐν χερὶ καὶ φθογγὴν καὶ γλυκὺ δάκρυ
βάλω.

---



http://digital.slub-dresden.de/ppn34684536X/21

μάρκου ἀργενταρίου.

πς' Ποιεῖς πάντα, μέλισσα φιλάνθεος, ἔργα μελίσσης
Οἶδα, καὶ ἐς κραδίην τοῦτο, γύναι, τίθεμαι.
Καὶ μέλι μὲν στάζεις ὑπὸ χείλεσιν ἡδὺ φιλεῦσα,
Ἢν δ' αἰτῇς, κέντρῳ τύμμα φέρεις ἄδικον.

τοῦ αὐτοῦ.

πζ' Αἶρε τὰ δίκτυα ταῦτα, κακόσχολε, μηδ' ἐπὶ...
Ἴσχιον ἐρχομένη στρέφε, Λυσιδίκη.
Οὔ σε περισφίγγει λεπτόσπολοι (sic) εἵμασι πέπλος,
Πάντα δέ σου βλέπεται γυμνά, καὶ οὐ βλέπεται.
Εἰ τόδε σοὶ χάριεν καταφαίνεται, αὐτὸς ὁμοίως
Ὀρθὸν ἔχων βύσσῳ τοῦτο περισκεπάσω.

τοῦ αὐτοῦ.

πη' Θῆλυς ἔρως κάλλιστος ἐνὶ θνητοῖσι τέτυκται
ᴧ ἴσ. οἶδας δ. Ὅσσοις εἰς φιλίην σεμνὸς ἔνεστι νόος.
Εἰ δὲ καὶ ἀρσενικὸν στέργεις πόθον, οἶδα διδάξαι
Φάρμακον, ᾧ παύσεις τὴν δυσέρωτα νόσον.
Στρέψας Μηνοφίλαν εὐίσχιον ἐν φρεσὶν, ἔλπε
Αὐτὸν ἔχειν κόλποις ἄρσενα Μηνόφιλον.

τοῦ αὐτοῦ. [sic,

πθ' Στέρνα παρὰ στέρνοις, μαστῷ δ' ἐπὶ μαστὸν ἐρείσας,
Χείλεα δὲ γλυκεροῖς χείλεσι συμπιέσας
Ἀντιγόνης, καὶ χρῶτα βαλὼν πρὸς χρῶτα: τὰ λοιπὰ
Σιγῶ, ἐφ' οἷς μάρτυς λύχνος ἐπεγράφετο.

ϙ' τοῦ αὐτοῦ.

Οὐκ ἔστ' οὗτος ἔρως, εἴ τις καλὸν εἶδος ἔχουσαν
Βούλετ' ἔχειν φρονίμοις ὄμμασι πειθόμενος.
Ἀλλ' ὅστις κακόμορφον ἰδών, πεφορημένος οἴστροις
Στέργει μαινομένης ἐκ φρενὸς αἰθόμενος.

πεφορημένος est in Antholog. lib. VII p. 617. ubi hoc Epigrama adscribitur Rufino, unoq. disticho auctius legitur.

ϙα'

τοῦ αὐτοῦ.

ια' Ἠράσθης πλουτῶν, Σωσίκρατες, ἀλλὰ πένης ὢν
Οὐκέτ' ἐρᾷς: λιμὸς φάρμακον οἷον ἔχει.
Ἡ δὲ πάρος σε καλεῦσα, μύρον, καὶ τερπνὸν ἄδωνιν,
Μηνοφίλα, νῦν σου τ' οὔνομα πυνθάνεται.
Τίς; πόθεν ἦς ἀνδρῶν; πόθι τοι πόλις; ἦ μόλις [ἔγνως,
Τοῦτ' ἔπος, ὡς οὐδεὶς οὐδὲν ἔχοντι φίλος;

καὶ εἷς, ut est in anthologia. lib. VII p. 609. ubi haud paullo aliter alia quoque leguntur, ipsumq. hexastichum Philodemo assignatur.

---

Δικαίου Γάλλου.

ιβ' Ἡ τρισὶ λατουργοῦσα πρὸς ἓν τάχος ἀνδράσι Λύδη, — ἴσ. δυσὶν
Τῷ μὲν ὑπὲρ νηδύν, τῷ δ' ὑπὲρ τῷ ὄπιθεν: — ἴσ. ὑπὸ
Εἰσδέχομαι φιλόπαιδα, γυναικομανῆ, φιλυβριστήν,
Εἰ σπεύδοις ἐθέλων σὺν δύσιν ἧκε (sic) τάχος.

---

Σωσιπάτρου.

ιγ' Μήποτε γαστροβαρῆ πρὸς σὸν λέχος ἀντιπρόσωπον
Παιδογόνῳ κλίνῃς κύπριδι τερπόμενος.
Μεσσόθι γὰρ μέγα κῦμα, καὶ οὐκ ὀλίγος πόθος ἔσται,
Τῆς μὲν ἐρεσσομένης, σοῦ δὲ σαλευομένου.
Ἀλλὰ πάλιν στρέψας ῥοδοειδέϊ τέρπεο πυγῇ,
Τὴν ἄλοχον νομίσας ἀρσενόπαιδα κύπριν.

τοῦ αὐτοῦ.

ιδ' Δωρίδα τὴν ῥοδόπυγον ὑπὲρ λεχέων διατείνας,
Ἄνθεσϊν ἐν χροεροῖς (sic) ἀθάνατος γέγονα.
Ἡ γὰρ ὑπὲρ φυεέσι (sic) μέσον διαβᾶσά με ποσσὶν,
Ἤνυεν ἀκλινέως τὸν κύπριδος δολϊχὸν,
Ὄμμασϊ νωθρὰ βλέπουσα, τὰ δ' ἠΰτε πνεύματι [φύλλα
Ἀμφὶ σαλευομένης ἔτρεμε πορφύρεα:
Μέχρις ἀπεσβέσθη γλυκερὸν μένος ἀμφοτέροισιν,
Καὶ Δωρὶς παρέτοις ἐξεχύθη μέλεσϊ.

---

Διοσκορίδου.

ξε' Πυγὴν Ζυσάρχοιο [sic] διέπλασεν ἀμφιπονίτεω [sic]
Μυειλίνην [sic] παίζων ὁ βροτολοιγὸς ἔρως,
Ζῆνα θέλων ἐρεθίξαι, ὅθ' οὕνεκα τοῦ γανυμήδου
Μηρῶν οἱ τούτου πουλὺ μελιχρότεροι.

Ποσειδίππου.

ξς' Μή με δόκει πιθανοῖς ἀπατᾶν δακρύεσσι, Φιλαινί
Οἶδα: φιλεῖς γὰρ ὅλως οὐδένα μεῖζον ἐμοῦ
Τοῦτον, ὅσον παρ' ἐμοὶ κέκλῖσαι χρόνον, εἰ δ' ἕ
Εἶχε, φιλεῖν ἂν ἔφης μεῖζον ἐκεῖνον [ἕτερός σε] ἐμοῦ.

Παύλου Σιλεντιαρίου. [γυίων

ξζ' Μαλθακὰ μὲν Σαπφοῦς τὰ φιλήματα, μαλθακὰ
Πλέγματα χιονέων, μαλθακὰ πάντα μέλη:
Ψυχὴ δ' ἐξ ἀδάμαντος ἀπειθέος. ἄχρι γὰρ οἴων
Ἐστὶν ἔρως σομάτων, τ' ἄλλα δὲ παρθενική.

Τοῦ αὐτοῦ.

ξη' Ῥίψωμεν, χαρίεσσα, τὰ φάρεα, γυμνὰ δὲ γυμνοῖς
Ἐμπελάσοι γυίοις γυῖα περιπλοκάδην:
Μηδὲν ἔοι τὸ μεταξύ. Σεμιράμιδος γὰρ ἐκεῖνο
Τεῖχος ἐμοὶ δοκέει λεπτὸν ὕφασμα σέθεν.
Στήθεα ἐζεύχθω [sic], τά, τε χείλεα, τ' ἄλλα δὲ σιγῇ
Κρυπτέω [sic]. ἐχθαίρω τὴν ἀθυροστομίην.

Τοῦ αὐτοῦ.

ἴσ. νέη ξθ' Πρόκειτος ἐστὶ Φίλιννα, τέη [sic] κύπρις, ἢ ὁπὸς [sic] ἥβης
Πάσης. ἱμείρω δ' ἀμφὶς ἔχειν παλάμαις
Μᾶλλον ἐγὼ σέο μῆλα καρηβαρέοντα κορύμβοις,
Ἢ μαζὸν νεαρῆς ὄρθιον ἡλικίης.
Σὸν γὰρ ἔτι φθινόπωρον, ὑπέρτερον εἴαρος ἄλλ
Χεῖμα σὸν ἀλλοτρίου θερμότερον θέρεος.

ε'

http://digital.slub-dresden.de/ppn34684536X/24

τοῦ αὐτοῦ

ξ' Ὄμματά σευ βαρύθουσι, πόθον στάζοντα, Χαρικλοῖ,
Οἷά περ ἐκ λέκτρων ἄρτι διεγρόμενης [sic]: ἴσ. διεγρομένης
Ἔσκυλται δὲ κόμη: ῥοδέης δ' ἀμάρυγμα παρειῆς
Ὠχρὸς ἔχει λευκὸς, καὶ δέμας ἐκλέλυται. ἴσ. λευκὸν
Κ' εἰ μὲν παννυχίοισιν ὁμιλήσασα παλαίστραις [sic]
Ταῦτα φέρεις, ὄλβου πάντας ὑπερπέταται,
Ὅς σε περιφλεγέθων ἔχε πήχεσιν: εἰ δέ σε τήκει
Θερμὸς ἔρως, εἴης ἐς ἐμὲ τηκομένη.

τοῦ αὐτοῦ.

ξα' Βόστρυχον ἡμιγέροντα τί μέμφεαι, ὄμματα δ' ὑγρὰ
Δάκρυσιν; ἡμετέρων παίγνια ταῦτα πόθων,
Φροντίδες ἀπρήκτοιο πόθου τάδε, ταῦτα βελέμνων
Σύμβολα, καὶ δολιχῆς ἔργα νυκτεγερσίης. σημειῶσαι, νυκτεγερσίης.
Καὶ γάρ [sic] που λαγόνεσσι [sic] ῥυτὶς ταναώριος ἤδη,
Καὶ λαγαρὸν δειρῆς δέρμα περικρέμαται.
Ὁππόσον ἡβάσκει φλογὸς ἄνθεα, τόσσον ἐμεῖο
Σήψεα [sic] γηράσκει φροντίδι γυιοβόρῳ:
Ἀλλὰ καταικτείρεσα [sic] δίδου χάριν, αὐτίκα γάρ μοι
Θρὶξ ἀναθηλήσει κρατὶ μελαινομένῳ
τοῦ αὐτοῦ.

ξβ' Μαζοὺς χερσὶν ἔχω, στόματι στόμα, καὶ περὶ δειρὴν
Ἄσχετα λιασώων [sic] βόσκομαι ἀργυφέην.
Οὔπω δ' Ἀφρογένειαν ὅλην ἕλον, ἀλλ' ἔτι κάμνω
Παρθένον ἀμφιέπων λέκτρον ἀναινομένην.
Ἥμισυ γὰρ Παφίη, τὸ δ' ἄρ' ἥμισυ δῶκεν Ἀθήνῃ [sic]:
Αὐτὰρ ἐγὼ μέσσος τήκομαι ἀμφοτέρων.

τοῦ αὐτοῦ.

ξγ' Δειελινῷ χαρίεσσα Μενεκράτις ἔκχυτος ὕπνῳ
Κεῖτο περὶ κροτάφους πῆχυν ἑλιξαμένη.
Τολμήσας δ' ἐπέβην λεχέων ὕπερ, ὡς δὲ κέλευθον
Ἥμισυ κυπριδίης ἤνυον ἀσπασίης.

http://digital.slub-dresden.de/ppn34684536X/25

Ἡ παῖς ἐξ ὕπνοιο διέγρετο, χερσὶ δὲ λευκαῖς
Κράατος ἡμετέρου πᾶσαν ἔτιλλε κόμην.
Μαρναμένης τὸ δὲ λοιπὸν, ἀνυσάμην ἔργον ἔρωτος,
Ἡ δ' ὑποτυμπλαμένη δάκρυσιν εἶπε τάδε.
Σχέτλιε, νῦν μὲν ἔρεξας, ὅ τοι φίλον, ᾧ ἐπὶ πολλῷ
Πολλάκι σῆς παλάμης χρυσὸν ἀπωμοσάμην.
Οἰχόμενος δ' ἄλλην ὑποκόλπιον εὐθὺς ἑλίξεις.
Ἐστὲ γὰρ ἀπλήστου κύπριδος ἐργάται.

ἀνάθημα Σοφοκλέους.

ξδ' Βωμοὺς τούσε (sic) θεοῖς Σοφοκλῆς ἱδρύσατο πρώτῳ
Ὃς πλεῖστον μούσης εἷλε κλέος τραγικῆς.

ἀνάθημα Παυσανίου.

Est apud Thucyd: lib. I paullo aliter. non enim obseruatur ibi τὸ δωρικόν.

ξε' Ἑλλήνων ἀρχηγὸς ἐπεὶ στρατὸν ὤλεσα μήδων
Παυσανίας Φοίβῳ μνᾶμ' ἀνέθηκα τόδε.

Μυρίνου.

ξς' Τὴν καλακὴν σαφίνς σαφιδύμιον ἀνδρόγυνον δρῦν
Ἔλλεφ' ἐς αΐδην ἡνίκ' ἔμελλε χρόνος:
Τ' ἀκ κόκκου βαφθέντα καὶ ὑσγίνοιο θέριστρα,
Καὶ τοὺς ναρδολιπεῖς ἀλλοτρίους πλοκάμους,
Φαικάδα τ' εὐλάγοισιν ἐπ' ἀστραγάλοισι γελάσαι,
Καὶ τὴν τριτλοδόκην κοιτίδα σαμβαλίδων,
Αὐλοὺς θ' ἡδὺ πνέοντας ἐλαιηροῖς ἐνὶ κώμοις,
Δῶρα Πριήπῳ θῆκεν ἐπὶ προθύροις.

Κιλλάκτορος.

ξζ' Ἁδὺ τὸ βινεῖν ἐστὶ, τίς οὐ λέγει; ἀλλ' ὅταν αἰτῇ
Χαλκὸν, πικρότερον γίνεται ἐλλεβόρου.

ξη'

http://digital.slub-dresden.de/ppn34684536X/26

Ἀθηναίου ῥεφερ. [sic]

Ὦ ποδαρῆ Ῥοδόπη παφίης εἴξασα βελέμνοις | ἢ καὶ ἔρξασα
Καὶ τὸν ὑπερφίαλον κόμπον ἀπωσαμένη,
Ἀγκὰς ἑλοῦσά μ' ἔχεις παρὰ σοῖς λέχος, ἐν δ' ἄρα
Κεῖμαι ἐλευθερίης οὐκ ἐπιδευόμενος. [δεσμοῖς
Οὕτω γὰρ ψυχή τε καὶ ἔκχυτα σώματα φωτῶν
Συμφέρει] φιλίης ῥεύμασι μιγνύμενα.

legendum ῥεφερενδαρίου. Aliud quoddam Ἀθηναίου ῥαιφερενδαρίου est lib. VII Antholog. p. 606. qui a nostro non differt
ἴσ. ἀγκάσ' ἔ.

Φιλοδήμου.

Δημώ με κτάνει, καὶ Θέρμιον [sic], ἡ μὲν ἑτέρη [sic]
Δημώ, ἡ δ' οὔπω κύπριν ἐπισταμένη:
Καὶ τῆς μὲν ψαύω, τῆς δ' οὐ θέμις, οὐ μά σε, κύπρι,
Οὐκ οἶδ', ἣν εἰπεῖν δεῖ με ποθεινοτέρην.
Δημάριον λέξω τὴν παρθένον, οὐ γὰρ ἕτοιμα
Βούλομαι, ἀλλὰ ποθῶ πᾶν τὸ φυλασσόμενον.

τοῦ αὐτοῦ.

Νυκτερινὴ, δικέρως, φιλοπάννυχε, φαῖνε, σελήνη,
Φαῖνε, δι' εὐτρήτων βαλλομένη θυρίδων:
Αὔγαζε χρυσέην καλλίστιον ἐς τὰ φιλεύντων
Ἔργα κατοπτεύειν, οὐ φθόνος ἀθανάτῃ,
Ὀλβίζεις καὶ τήνδε, καὶ ἡμέας, οἶδα, σελήνη:
Καὶ γὰρ σὴν ψυχὴν ἔφλεγεν ἐνδυμίων.

τοῦ αὐτοῦ.

Γινώσκω, χαρίεσσα, φιλεῖν πάνυ τὸν φιλέοντα,
Καὶ πάλιν γινώσκω τὸν με δακόντα δακεῖν.
Μὴ λύπει με λίην στέργουσά σε, μὴ δ' ἐρεθίζειν
Τὰς βαρυοργήτους σοὶ θέλε πιερίδας.
Τοῦτ' ἐβόων αἰεὶ, καὶ προὔλεγον, ἀλλ' ἴσα πόντῳ
Ἰονίῳ μύθων ἔλκυες ἡμετέρων. ἴσ. ἔκλυες
Τοιγὰρ νῦν σὺ μὲν ὧδε μέγα κλαίουσα βαΰζοις:
Ἡμεῖς δ' ἐν κόλποις ἥμεθα ναϊάδος.

τοῦ αὐτοῦ

ριβ' Καὶ νυκτὸς μεσάτης τὸν ἐμὸν κλέψασα σύνευνον
Ἦλθον, καὶ πυκινῇ τεγγομένη ψακάδι,
Τ' οὔνεκεν ἀπρηκτοισι [sic] καθήμεθα, κ' οὐχὶ κηλεῦντ
Εὕδομεν, ὡς εὕδειν τοῖς φιλέουσι θέμις.

---

Φρόντωνος.

ριγ' Μέχρι τίνος πολεμεῖς μοι, φίλτατε κοῦρε; τί ποιεῖς;
Τὸν σὸν καμβύσην οὐκ ἔλεγας [sic], λέγε [sic], με.
Μὴ γίνου μῶρος, σάκας γὰρ ἔσῃ μετὰ μικρόν,
Καὶ σὲ ποιήσουσιν αἱ τρίχες ἀσυάγην.

---

νικαινέτου.

ἐπὶ ἐξαμέτρῳ τρίμετρον.

ριδ' Οἶνός τοι χαρίεντι [a] πέλει ταχὺς ἵππος ἀοιδῷ:
Ὕδωρ δὲ πίνων [b] οὐδὲν ἂν τέκοι σοφόν.
[c] Τοῦτ' ἔλεγεν, Διόνυσε, καὶ ἔπινεν [sic] οὐχ ἑνὸς ἀσκοῦ
Κρατῖνος, ἀλλὰ παντὸς [d] ὠδώδει πίθου.
Τοιγὰρ ὑπὸ στεφάνοις μέγας ἔβρυεν, εἶχε δὲ κιττῷ
Μέτωπον, ὥσπερ καὶ σύ, κεκροκωμένον.

Est in anthol. lib. I. cap. LIX. p. 122. et ascribitur νικηράτῳ. Demetrio Halicarnassensi tribuit prius distichum, quod et Athenaeus adducit, a Zenodoto.
a. γρ. καὶ μέγας πέλει, in anthol. & Athenaeo.
b. γρ. καὶ καλὸν οὐ τέκοις ἔπος. ἢ. χρηστὸν οὐδὲν ἂν τέκνης, ut citat Erasmus.
c. γρ. καὶ ταῦτ' ἔ. δ. κ. ἔπνεεν οὐχ ἑνὸς ἀσκοῦ.
d. γρ. καὶ ὤδωδεν.

---

ἀγαθίου σχολαστικοῦ.

ριε' Στῆλαι, καὶ γραφίδες, καὶ κύρβιες, εὐφροσύνης μὲν
Αἴτια τοῖς ταῦτα κτησαμένοις μεγάλης:
Ἀλλ' ἐς ὅσον ζώουσι. τὰ γὰρ κενὰ κύδεα φωτῶν
Ψυχαῖς οἰχομένων οὐ μάλα συμφέρεται.
Ἡ δ' ἀρετή, σοφίης τε χάρις καὶ κεῖθι συνέρπει,
Κ' ἀνθάδε μιμνάζει μνῆστιν ἐφελκομένη.
Οὕτως οὐδὲ Πλάτων βρενθύεται, οὔτε γ' Ὅμηρος,
Χρώμασιν, ἢ στήλαις, ἀλλὰ μόνῃ σοφίῃ.
Ὄλβιος, ὧν μνήμη πινυτῶν ἐνὶ τεύχεσι βίβλων,
Ἀλλ' οὐκ ἐς κενεὰς εἰκόνας, εὐδιάει.

ρις' τοῦ αὐτοῦ.

http://digital.slub-dresden.de/ppn34684536X/28

τοῦ αὐτοῦ

ρις' Ἡ γραῦς ἡ τρικόρωνος, ἡ ἡμετέρους διὰ μόχθους
Μοίρης ἀμβολίην πολλάκι δεξαμένη,
Ἄγριον ἦτορ ἔχει, καὶ θέλγεται οὔτ' ἐπὶ χρυσῷ,
Οὔτ' ἐπὶ ζωροτέρῳ μάζονι κισσυβίῳ·
Τὴν κούρην δ' αἰεὶ περιδέρκεται, εἰ δέ ποτ' αὐτὴν
Ἀθρήσει κρυφίοις ὄμμασι ῥεμβομένην.
sic Ἀ' μέγα τολμήεσσα, ῥαπίσμασιν ἀμφὶ πρόσωπα
Πλήσσει τὴν ἁπαλὴν ἀχρεῖα κινυρομένην.
Εἰ δ' ἐτεὸν τὸν Ἄδωνιν ἐφίλαο (sic), Περσεφόνεια,
Οἴκτειρον ξυνῆς ἄλγεα τηκεδόνος.
Ἔστω δ' ἀμφοτέροισι χάρις μία, τῆς δὲ γεραιῆς
Ῥύεο τὴν κούρην, πρίν τι κακὸν παθέειν.

---

ἀγαθίου.

ριζ' Εἰργομένη φιλέειν με κατὰ στόμα, δῖα Ῥοδάνθη, Ζώνην παρθενικὴν ἐξετάνυσσα μέσην, — forte sit alius a Scholastico.
Καὶ κείνην φιλέεσκεν. ἐγὼ δέ τις ὡς ὀχετηγὸς
Ἀρχὴν τῆς ἑτέρης εἷλκον ἔρωτος ὕδωρ
Αὐερύων τὸ φίλημα, περὶ ζωστῆρα δὲ κούρης
Μάστακι ποππύζων τηλόθεν ἀντεφίλουν.
Ἦν δὲ πόνου καὶ τοῦτο παραίφασις: ἡ γλυκερὴ γὰρ
Ζώνη πορθμὸς ἔην χείλεος ἀμφοτέρου.

---

ῥουφίνου.

ριη' Μᾶλλον τῶν σοβαρῶν τὰς δουλίδας ἐκλεγόμεθα,
Οἱ μὴ τοῖς σπαταλοῖς κλέμμασι τερπόμενοι. — ἴσ. σπατάλης.
Ταῖς μὲν χρὼς ἀπόδωσε μύρον, σοβαρόν τε φρύαγμα — ἴσ. ἀπόδωδε
Καὶ μέχρι κινδύνου ἑσπομένη σύνοδος.
Ταῖς δὲ χάρις καὶ χρὼς ἴδιος, καὶ λέκτρον ἑτοῖμον
Δώροις ἐν (sic) σπατάλοις οὐκ ἀλεγιζόμενον. — ἴσ. ἐκ σπατάλης
Μιμοῦμαι Πύρρον τὸν Ἀχιλλέος, ὃς προέκρινεν
Ἑρμιόνης ἀλόχου τὴν λάτριν Ἀνδρομάχην.



http://digital.slub-dresden.de/ppn34684536X/29

τοῦ αὐτοῦ. *sic*

ριθ' Πυγὰς αὐτὸς ἔκρινα τριῶν. εἵλοντο γὰρ αὐταί
Δεῖξασαι γυμνὴν ἀστεροπὴν μελέων.
Καὶ ῥ' ἡ μὲν τροχαλοῖς σφραγιζομένη γελασίνοις
Λευκῇ ἀπὸ γλουτῶν ἤνθεεν εὐαφίῃ.
Τῆς δὲ διαιρομένης φοινίσσετο χιονέη σὰρξ
Πορφυρέοιο ῥόδου μᾶλλον ἐρυθροτέρη.
Ἡ δὲ γαληνιόωσα (*sic*) ταράσσετο κύματι κωφῷ
Αὐτομάτη τρυφερῷ χρωτὶ σαλευομένη.
„ Εἰ ταύτας ὁ θεῶν ὁ κρίτης ἐθεάσατο πυγὰς
„ Οὐκέτ' ἂν οὐδ' ἐσιδεῖν ἤθελε τὰς προτέρας.

„ „ Ultimum huius epigrammatis distichum lib. VII p. 610. anthologiae habetur, ita tamen, ut pro πυγὰς, ibi sit κέρας. σχόλιον appositum non expedit. Priora n. explicabant id, q(uod) ob obscenitatem omissa.

τοῦ αὐτοῦ.

ρκ' Μήτ' ἰσχνὴν ... περιλάμβανε, μήτε παχεῖαν
Τούτων δ' ἀμφοτέρων τὴν μεσότητα θέλε.
Τῇ μὲν γὰρ λείπει σαρκῶν χύσις, ἡ δὲ περισσὴν
Κέκτηται· λεῖπον μὴ θέλε, μηδὲ πλέον.

τοῦ αὐτοῦ.

ρκα' Πολλάκις ηὐξάμην σε λαβὼν ἐν νυκτί, Θάλεια,
Πληρῶσαι θαλερῇ θυμὸν ἐρωμανίῃ.
Νῦν δ' ὅτε μοι γυμνὴ γλυκεροῖς μελέεσσι πέπλη-
Ἔκλυτος ὑπναλέῳ γυῖα κέκμηκα κόπῳ. [σαι,
Θυμὲ τάλαν, τί πέπονθας; ἀνέγρεο, μηδ' ἀπόκαμνε
Ζητήσεις ταύτην τὴν ὑπερευτυχίην.

τοῦ αὐτοῦ.

ρκβ Οὔπω σου τὸ καλὸν χρόνος ἔσβεσεν, ἀλλ' ἔτι πολλὰ
Λείψανα τῆς προτέρης σώζεται ἡλικίης,
Καὶ χάριτες μίμνουσιν ἀγήραοι, οὐδὲ τὸ καλὸν
Τῶν ἱλαρῶν μήλων ἢ ῥόδον ἐξέφυγεν.
Ὦ πόσσους κατέφλεξε τὸ πρὶν θεοείκελον ἄνθος
Ἡνίκα πρωτοβόλων λάμπεν ἀπὸ βλεφάρων.

τοῦ αὐτοῦ

ρκγ' Τοῦτο βίος, τοῦτ' αὐτό, τρυφὴ, βίος, ἔρρετ' ἀνῖαι.
Ζωῆς ἀνθρώποις ὀλίγος χρόνος. ἄρτι Λυαῖος
Ἄρτι χοροὶ στέφανοί τε φιλανθέες, ἄρτι γυναῖκες.
Σήμερον ἐσθλὰ πάθω· τὸ γὰρ αὔριον οὐδενὶ δῆλον.

ρκδ

http://digital.slub-dresden.de/ppn34684536X/30

τοῦ αὐτοῦ.

ϡκδ' Μισῶ τὴν ἀφελῆ, μισῶ τὴν σώφρονα λίαν,
Ἡ μὲν γὰρ ταχέως, ἡ δὲ θέλει ταχέως. *sic*

Est in antholog. lib. VII p. 631. cum inepto Scholio. Recte tn. ibi legit ultimum verbum, βραδέως.

τοῦ αὐτοῦ

ϡκέ Ὄμματ' ἔχεις ἥρης, μελίτη, τὰς χεῖρας ἀθήνης,
Τοὺς μαζοὺς παφίης, τὰ σφυρὰ τῆς θέτιδος.
Εὐδαίμων ὁ βλέπων σε, τρισόλβιος ὅστις ἀκούει,
Ἡμίθεος δ' ὁ φιλῶν, ἀθάνατος δ' ὁ συνῶν.

Est in anthologia lib. VII. p. 618.

ἴσ. συνών.

---

ἀντιπάτρου θεσσαλονικέως.

ϡκς' Χρύσεος ἦν γενέη, καὶ χάλκεος, ἀργυρέη τε
Πρόσθεν, παντοίη δ' ἡ κυθέρεια τὰ νῦν *sic*
Καὶ χρυσοῦν τίει, καὶ χάλκεον ἄνδρ' ἐφίλησεν,
Καὶ τοὺς ἀργυρέους οὔποτ' ἀποστρέφεται. *sic*

---

ἀντιπάτρου.

ϡκζ' Τριτογενὲς σώτειρα, διὸς φριξοδέμνιε κούρα,
Παλλάς, ἀπειροτόκου δέσποτι παρθενίης,
Βωμόν τοι κεραοῦχον ἐδείματο τόνδε σέλευκος, *sic*
Φοιβείου ἰαχὰν φθεγγόμενον στόματος.

---

ἄδηλα καὶ ἀδέσποτα.

---

ἄδηλον.

ϡκη' Οὔ μοι θῆλυς ἔρως ἐγκάρδιος, ἀλλά με πυρσοὶ
Ἄρσενες ἀσβέστῳ θῆκαν ἐπ' ἀνθρακιῇ.
Πλεότερον τόδε θάλπος: ὅσον δυνατώτερον ἄρσην
Θηλυτέρης, τόσσῳ *sic* χ' ὡ πόθος ὀξύτερος

http://digital.slub-dresden.de/ppn34684536X/31

ἄδηλον.
οἱ δὲ ἀρτέμωνος.

ρκθ Λητοΐδη, σὺ μὲν ἔχες ἁλίρρυτον αὐχένα Δήλου,
Κοῦρε Διὸς μεγάλου θέσφατα πᾶσι λέγων.
Κεκροπίαν δ' Ἐχέδημος, ὁ δεύτερος δ'(sic) ἀτθίδι Φοῖβος,
Ὧι καλὸν ἁβροκόμης ἄνθος ἔλαμψεν ἔρως.
Ἡ δ' ἀνά(sic) κῦμ' ἄρξασα, καὶ ἐν χθονὶ, πατρὶς ἀθήνη
Νῦν κάλλει δούλην ἑλλάδ' ὑπηγάγετο.

ἄδηλον.

ρλ' Ἀντίπατρός μ' ἐφίλησ' ἤδη λήγοντος ἔρωτος,
Καὶ πάλιν ἐκ ψυχῆς πῦρ ἀνέκαυσε τέφρης.
Δὶς δὲ μιῆς ἄκων ἔτυχον φλογός. ὦ δυσέρωτες,
Φεύγετε, μὴ πρήσω τοὺς πέλας ἁψαμένους. — γρ. ἁψάμενος.

ἄδηλον.

ρλα' Τλῆμον ἔρως, οὐ θῆλυν ἐμοὶ πόθον, ἀλλά τιν' αἰθὴν — ἴσ. δινεῦς
Δινεῦς στεροπὴν κύματος ἀρσενικοῦ.
Ἄλλοτε γὰρ δήμωνι πυρούμενος, ἄλλοτε λεύσσων
Ἰσμῆνον, δολιχοὺς αἰὲν ἔχω καμάτους.
Οὐ μούνοις δ' ἐπὶ τοῖσδε δεδόρκαμεν, ἀλλ' ἀπὸ πάντων
Δάκρυσι πλυμαντῆ κανθὸν ἐφελκόμεθα.

ἄδηλον.

ρλβ' Οὐκέτ' ἐρῶ· πεπάλαικα πόθοις τρισίν, εἷς μὲν ἑταίρης,
Εἷς δέ με παρθενικῆς, εἷς δέ μ' ἔκαυσε νέου.
Καὶ κατὰ πᾶν ἤλγηκα· γεγύμνασμαι μὲν ἑταίρης
Πείθων(sic) τὰς ἐχθρὰς οὐδὲν ἔχοντι θύρας.
Ἔστρωμαι δὲ κόρης ἐπὶ παστάδος, αἰὲν ἄυπνος,
Ἓν τὸ ποθεινότατον παιδὶ φίλημα διδούς.
Οἴμοι, πῶς εἴπω πῦρ τὸ τρίτον; ἐκ γὰρ ἐκείνου
Βλέμματα, καὶ κενεὰς ἐλπίδας οἶδα μόνον.

ἄδηλον.

ρλγ' Ἄκρητον μανίην ἔπιον· μεθύω μέγα μύθοις
Ὥπλισμαι· πολλὴν ἐς ὁδὸν ἀφροσύναν·
Κωμάσομαι· τί δέ μοι βροντέων μέλει, ἢ τί κεραυ-[νῶν;
Ἢν βάλλῃ τὸν ἔρωθ' ὅπλον ἄτρωτον ἔχων.
Κωμάσομαι· μεθύω γὰρ ὅλως μέγα· παῖ, λάβε τοῦτον
Τὸν στέφανον τὸν ἐμοῖς δάκρυσι λουόμενον.

ρλδ'

ἄδηλον.

λδ' Πυγμῇ νικήσαντα τὸν Ἀντικλέους Μενέχαρμον
Λημνίσκοις μαλακοῖς ἐστεφάνωσα δέκα,
Καὶ τρισσῶς ἐφίλησα πεφυρμένον αἵματι πολλῷ:
Ἀλλ' ἐμοὶ ἦν σμύρνης κεῖνο μελιχρότερον.

ἄδηλον.

λε' Οἶδα φιλεῖν φιλέοντα, ἐπίσταμαι (sic) κ', ἤν μ' ἀδικῇ τις
Μισεῖν, ἀμφοτέρων εἰμὶ γὰρ οὐκ ἀδαής.

Est in Anthologiae lib. VII, p. 630.

ἄδηλον.

λς' Ὁ ὑμὸς ἔρως μενέτω μονῳ, ἢν δὲ πρὸς ἄλλους
Φοιτήσῃ, μισῶ κοινὸν ἔρωτα, κύπρι.

Est loco dato.

ἄδηλον. [ἰούς;

λζ' Κύπρι, τί μοι τρισσοὺς ἐφ' ἕνα σκοπὸν ἤλασας
Ἐν δὲ μιῇ ψυχῇ τρισσὰ πέπηγε βέλη.
Καὶ τῇ μὲν φλέγομαι· τῇ δ' ἕλκομαι, ἢ.. (sic) δ' ἀπα-
Διστάζω. λάβρῳ δ' ἐν πυρὶ πᾶς φλέγομαι. [νεύσω,

Est et hoc ibidem. Vide Salmas. not. & emendat. ad Achill. Tat. p. 578.

ἄδηλον.

λη' Εἰς οἷόν με πόθων λιμένα ξένον, ὦ κύπρι, θεῖσα
Οχ.. (sic) ἐλεεῖς κ' αὐτὴ πεῖραν ἔχουσα πόνων;
Ἦ μ' ἐθέλεις ἄτλητα παθεῖν, καὶ τοῦτ' ἔπος εἰπεῖν,
Τὸν σοφὸν ἐν μούσαις κύπρις ἔτρωσε μόνη.

ἄδηλον

λθ' Ὄρνιθες ψίθυροι, τί κεκράγατε; μή μ' ἀνιᾶτε,
Τὸν τρυφερῇ παιδὸς σαρκὶ χλιαινόμενον,
Ἑζόμεναι πετάλοισιν ἀηδόνες: εἰ δὲ λάληθρον
Θῆλυ γένος, δέομαι, μείνατ' ἐφ' ἡσυχίης.

Est in anthologia, lib. VII, p. 630. ubi est versu secundo, τὸν τρυφερῆς παρθένου: cum hoc χωλίῳ satis inepto, τοῦ μέτρου χάριν ἤ, παρθένου, ἀναγνωστέον διὰ μεταθέσεως τῶν γραμμάτων, ἤ, ὅπερ καὶ ἄμεινόν ἐστι, κούρης.

ἄδηλον.

μ' Τρεῖς (sic) ἦσαν αἱ χάριτες, σὺ δὲ .. μία ταῖς τρισὶ ταύταις
Γεννήθης, ἵν' ἔχωσ' αἱ χάριτες χάριτα.

ἀδέσποτον
ἐπὶ δυσὶν ἑξαμέτροις πεντάμετρον.

μα' Εἰμὶ Δίκων υἱὸς Καλλιμβρότου, αὐτὰρ ἐνίκων
Τετράκις ἐν Νεμέᾳ, δὶς Ὀλύμπια, πεντάκι Πυθοῖ,
Τρὶς δ' Ἰσθμῷ: στεφάνῳ δ' ἄστυ Συρακοσίων.

http://digital.slub-dresden.de/ppn34684536X/33

ἀδέσποτον.

ἐπὶ τρισὶν ἑξαμέτροις πεντάμετρον.

ϛμβ΄ Σπάρτας μὲν βασιλῆες ἐμοὶ πατέρες καὶ ἀδελφοί
Ἅρμασι δ' ὠκυπόδων ἵππων νικῶσα Κυνίσκα [κα…]
Εἰκόνα τάνδ' ἔστασα· μόναν δ' ἐμὲ φαμὶ γυναι[κῶν]
Ἑλλάδος ἐκ πάσας τόνδε λαβεῖν στέφανον.

ἀδέσποτον.

ϛμγ΄ Καὶ πενίη καὶ ἔρως δύο μοι κακά· καὶ τὸ μὲν οἴσω
Κούφως, πῦρ δὲ φέρειν Κύπριδος οὐ δύναμαι.

ἀδέσποτον.

ϛμδ΄ Ἀλκαίου τάφος οὗτος, ὃν ἔκτανεν ἡ πλατύφυλλος
Τιμωρὸς μοιχῶν γῆς θυγάτηρ ῥάφανος.

Is. Voss. ad illud Catulli, p. 42. Percurrent raphanique mugilesque. adde Aristophanem Nubib. act. & sc. III. chor. p. 150.

---

Asclepiadis in epigrammate πρωτόπλοον mulierem appellat, quae primas passa toros est, an tauros? de Archaeanassa meretrice,

Ἧς νέον ἥβας ἄνθος ἀποδρέψαντες ἐρασταὶ
Πρωτόπλοον, δι' ὅσας ἤλθετε πυρκαϊάς;

Salmas. ad Achill. Tat. p. 553.

Aliud epigramma Diodori ἀνέκδοτον citat idem ibid. p. 641. aliud p. 659. & p. 732.

---

Haec epigrammata primum a Salmasio ex codice bibliothecae Heidelbergensis exscripta. Vide Colomes. Gall. or. pp. 192. 194. 268.

---

http://digital.slub-dresden.de/ppn34684536X/34

---

Epigrammata, quae desunt in vulgatis, ex vetustissimis membranis eruta.

---

λεωνίδου.

Εἰ καὶ σοὶ πτέρυγες ταχῖναι περὶ νῶτα τέτανται
Καὶ σκυθικαὶ τόξων ἀκροβολεῖς ἀκίδες
Φεύξομ' ἔρως ὑπὸ γῆν σε. τί δὲ πλέον; οὐδὲ
σὰν ἔφυγε ῥώμαν πανδαμάτωρ ἀΐδας. [γὰρ αὐτὸς

εἰς εἰκόνα σατύρου.

Ἡ σάτυρος τὸν χαλκὸν ὑπέδραμεν, ἢ διὰ τέχνης
Χαλκὸς ἀναγκασθεὶς ἀμφεχύθη σατύρῳ.

σιμωνίδου.

Δῆμος ἀθηναίων σε, νεοπτόλεμ', εἰκόνι τῇδε
Τίμησ' εὐνοίης εὐσεβίης θ' ἕνεκα.

ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Ἄγριος οὗτος ἄδωνις, ὃς ἐς κύνας ὄμματα βάλλει
Σχέτλι' ἔρως πταφίης ἄλχι παρισαμένης.

---

Sunt verba Cl. Salmasii, qui ea in fronte Eusebii sui, qui iam Vinariae est, sua manu adscripsit. Tamen de primo ἀλογιστῶ vir incomparabilis. Est n. antholog. lib. IIII cap. XII p. 472. Titulus ibi tamen alius, μελεάγρου, οἱ δὲ στράτωνος, εἰς ἔρωτα. Deinde versu II σκυθικῶν ibi est, non σκυθικαί.

## Ιοῦ ζωμακεύοντος.

οἴμεν ἄβαλος, Procop.

κόρη ἀκόρητος. Att. masculinum feminino iungunt.

Epigrama Graecum Macedonii

Συγγενέος τὴν χεῖρα μυρίπνοε χαῖρε κονίη

Lucem accipit ex Plinio lib. XXXIIII. cap. XII. p. 244. & 266.

Καὶ τοπαζιλίνων χροιὰ μελιχρολάτη.

Ἐστὲ χροιῆς αἱ ξιπόθητοι, ἀφ᾽ ὧν βρομιώδεα πηλὸν

Φύρησαν βάκχῳ ξιζυγέες χάριτες.

Αἱ τέσσαραι χάριτες. Epigr. lib. VII. p. 611.

Cuarta Gratia, ad uerbum, tecum sunt quatuor Gratiae, id est, tu quarta es Gratia. ibid. p. 6..

Epigrama obscenum Stratonis in Draconem puerum reuera draconem, aut infra foramen serpentem recipit, id est, penem, uerte iuuenem patricium. Epigr. lib. I p. 154.

Nihilocaptior uersus est epigramatis in nouem poëtas Lyricos, inter quos Ibycus describitur ut παίδων ἄνθος ἀμησάμενος, qui puerorum florem messuit, id est, ἀρσενοκοίτης fuit. Epigr. lib. I p. 154.

imago ult. 1542.

De poena in malam feminam constituta uide imagines apud Philipp. Iac. Tomasinum. Subscriptus poenae uersus, Vergilium eludens meritas dat femina poenas. Vbi mas & femina cereo accenso eius, quae admisit, pilos genitalium amburunt, alia femina ad cereum accendendū parata, idem facere destinat. Quid sibi id uelit, ex fescenninis scriptoribus forte inquirendum. Forte ipsa haec femina palaestra agone Veneris eo poenae genere exemplo indicata est indigna. Venus enim quoq. barbata pingitur; adeo, ut ad ipse amburendi indicio sit, eam non contineri Veneris, id est, amoris regni quod poetam de erotico argumento scriptitantem, & in castris deae illius militantem offendisset forte, aut sugillasset. Interim de Venere barbata uid. Geuartius, ex eo Paullus Voëtius not. in Musaeum p. 40.

Imo explicao peti potest ab Aristoph. in Θεσμοφ. p. 795. ubi de expilatione uuluae mulieris ad sumendam de illa malediceae poenam.

Mulier emerita, & militia Veneris indigna, imo iam exclusa, ut senes emeriti, quibus opponunt ὁμοσέβοντες, Virgilio fortunati, ut putant, appellati. Guell. in eclog. I. p. 4.

Sappho apud Ouidium fassa est, se fuisse tribadem, in heroid. epist. XV. 15. 16. 17. p. 193. Sappho, drama, apud Athen. p. 760.

Sapphonis locus de Mercurio Diis libante. Casaub. ad Athen. lib. X. c. 7. p. 72.

Epigrama in Sapphonem lib. I Epigr. p. 135. Ibidem Platonis, poetriam hanc decimam nominantis Musam.

Epigramata Platonis apud Laertium ingenium Platonis in iuuenem amoris pronum declarant, nominatim in Dionem, Alexim, Agathonem. Vandalen in hist. Aristeae cap. XXXVI. p. 199.

Anacreon

http://digital.slub-dresden.de/ppn34684536X/36

ANACREON

Etsi perpetua Bacchus Phoebusq. iuuenta
Et Deus aeternum est ipse Cupido puer:
Molliter Ausonius cecinitque Catullus Amorem,
Et Bacchum Graiis Teia Musa suum.
Steph. Pasebasius, Icon. LIV. p. 8.

Baudelot de l'utilité des voyages tom. II p. 412. ed. Paris. 1686. ubi aliquot nondum editae Anacreontis odae memorantur.

Anacreon iuratus, si quisquam alius, Veneris antistes, Paul. Voet. not. in Musaeum p. 33.

ἀνέκδοτον.

θεάων ἄνασσα κύπρι,
ἵμερε κράτος χθονίων,
γάμε βιότοιο φύλαξ,
ὑμέας λόγοις λιγαίνω,
ὑμέας στίχοις κυδαίνω,
ἵμερον, γάμον, ἐπαφίης *
δέρκεο τὰν νεᾶνιν, δέρκεο κοῦρα *
ἔρχεο μή σε φύγῃ στρέδικος ἄγρα
Στρατόκλεες φίλος κάθηκε.
Στρατόκλεες ἀνὴρ Μυρίλλης
ἴδε τὴν φίλην γυναῖκα
κομάει, τέθηλε, λάμπε,
ῥόδον ἀνθέων ἄνασσα,
ῥόδον ἐν κόραις Μυρίλλα
ἠέλιος τὰ δέθεν δέμνια φαίνοι
16. κυπάριττος [illegible]πάριλος πεφύκοι σεῦ ἐνὶ κήπῳ.

XVII versus Anacreontis non editi sunt apud Casaub. Castig. in Athen. lib. XV cap. 4. p. 952. 953.



http://digital.slub-dresden.de/ppn34684536X/37

# SAPPHO

Σαπφὼ ἡ μουσοποιὸς ... ροδ. lib. II. cap. 134. Versus Sapphonis a T. Fabro ... mati & emendati lib. I. ep. ...

Σαπφοῦς τῆς λεσβίας ἀνέκδοτα.

ex cod. msc. Isaaci Vossi. v. c.

εἰς ἀφροδίτην.

ἐλθὲ κύπρι χρυσέαισιν
ἐν κυλίκεσσιν ἁβροῖς
ἐμμεμιγμένον θαλίαισι
νέκταρ οἰνοχοοῦσα,
τούτοισι τοῖς ἑταίροις,
ἐμοῖς γε καὶ σοῖς.

κύπρι διωναία, Venus Dionaeus filia apud Theocr. id. ... χρυσοῦ παίζουσα ἀφροδ... auro ludens Venus. ib. p. ... κυλίκεσ, non κύαθοι qui erant ....

γλυκεῖα μᾶτερ, οὔτοι δύναμαι κρέκην τὸν ἱστὸν,
πόθῳ δαμεῖσα παιδὸς βραδινὰν δι' ἀφροδίταν.

ἕσπερε πάντα φέρεις,
φέρεις οἶνον, φέρεις αἶγα,
φέρεις ματέρι παῖδα.

Venit hesperus, ite capellae. Quid? Servi vesper vehat. Vide notas mss. ad Livium ...

σκεδάσαι μερίμνας, Anacreon ωδαρ. 4.

ἕσπερε πάντα φέρων, ὅσα φαινολὶς ἐσκέδασ' αὔως ...
ἦρος ἄγγελος ἱμερόφωνος ἀηδών.
πλοῦτος ἄνευ ἀρετῆς οὐκ ἀσινὴς πάροικος.

vid. Callimachus hymn. I. fin.

ἡ δ' ἐξ ἀμφοτέρων κρᾶσις εὐδαιμονίας ἔχει τ' ἄκρον.
ὁ μὲν γὰρ καλὸς, ὅσον ἰδεῖν πέλεται,
ὁ δὲ κ' ἀγαθὸς αὐτίκα καὶ καλὸς ἔσαι.

συνῆβα,

Apud Athenaeum ex fragmento Carcini lib. XV. p. 695.
σύν μοι πῖνε, συνήβα, συνέρα, συστεφανηφόρει.

Ex Tan. Fabri lib. I epist. LXXIIX.

Δέδυκε μὲν ἁ σελάνα,
καὶ πληϊάδες, μέσαι δ' οὖ
νύκτες, παρὰ δ' ἔρχεθ' ὥρα,
ἐγὼ δὲ μόνα καθεύδω.

Διοσκορίδου

http://digital.slub-dresden.de/ppn34684536X/38

Διοσκορίδου εἰς Ἀνακρέοντα.

σμερδίῳ ἐπὶ θρηκὶ τακεὶς, καὶ ἐπ' ἔσχατον ὀστεῦ
κώμου καὶ πάσης κοίρανε παννυχίδος.
τερπνότατε μούσησιν Ἀνάκρεον, ὦ 'πὶ Βαθύλλῳ
χλωρὸν ὑπὲρ κυλίκων πολλάκι δακρυχέας

αὐτόματοι δὲ φέροιεν ἴον τὸ φιλέσπερον ἄνθος
κῆποι καὶ μαλακῇ νέκταρ τρέφοιτε δρόσῳ
ὄφρα καὶ ἢ σποδιῆς οἰνώμενος ἁβρὰ χορεύσῃς
βεβληκὼς χρυσέην χεῖρα ἐπ' Εὐρυπύλην.

haec ex anthologia Menagiana.

εἰς βίβλον λυρικὴν Ἀνακρέοντος, Κριναγόρου.
βιβλίον ἡ γλυκερὴ λυρικῶν ἐν τεύχεϊ τῷδε
πεντὰς ἀμιμήτων ἔργα φέρει χαρίτων.

ex anthologia Vossiana.

---

ἀναιμόσαρκε. Od. XLIII. u. penult.
Stephanus uertit, quasi esset, sanguine carens & carne. forte legit, ἄναιμ', ἄσαρκε.

Od. XLV. u. 6.
μέλι τὸ γλυκὺ λαβοῦσα.
T. Faber, ut metro sua constet ratio, pro τὸ γλυκὺ substituit λάγινον. sat audacter. mihi λαβοῦσα magis suspectum uidetur, cum λαβὼν altero abhinc uersu praecesserit.

Faber in coniecturis licentior, quaedam audacius mutauit. v. auctoris uitae Graecorum poetarum, p.32.

Od. XXIX. u. 28. τὸ δ' ἀδώνιδος παρῆλθον
ἐλεφάντινος ῥάχηλας.
T. Faber in not. p. 168.

odar. XVII
καὶ βότρυας κατ' αὐτό.
Sequuntur in codice uetustiss. Voss.
καὶ μαινάδας τρυγώσας
ποίει δὲ ληνὸν οἴνου
ληνοβάτας πατοῦντας
καὶ σατύρους γελῶντας
καὶ χρυσοὺς τοὺς ἔρωτας
sic καὶ Κυθέρην γελῶσαν ὁμοῦ.

http://digital.slub-dresden.de/ppn34684536X/39

Hinc mendum in uersu ad. H. Stephani
uers. καὶ χρυσέους παλοῦντας.

Odar. L.

Ο τὸν ἐν πόλοις ἀλεγῇ f. ὅταν.

Odar. LII.

Προδότιν γάμων γενέαν. deesse hic videtur aliquid

ad. Fabr. p. 97. ipse correxit Is. Vossius ad Catull. p. 114. 115.

Sappho. ποικιλόθρον'. msc. ποικιλόφρον
δολοπλόκε, l. δολοπλόκε.
ἄλαισι l. ἄσαισι
αἴοις ἂς πολλάκ' l. ἀΐοισα πολλά.

δινεῦντες, l. δινοῦντες. πτέρυγας μελαίνας l. περὶ γᾶς
αἰθέ"ρος διὰ μέσσου l. πτερ'
δεῦρο καλέοιμι. l. ... καλημμι.
πειθῶ l. πείθη.

p. 98. ¶ σαγηνεῦσαι msc. σαγήνευσαν
ἀδικῇ, ἀδικῆ
δέχετ' δέχει'
κ' ὅτι κελεύῃς, ἢ ὄυχι ἐθέλεις.
ἱμέρῃ ἱμέρρῃ

Is. Voss. ad Catull. p. 113. 114. ἀνὴρ msc. ὤνηρ
ἐναντίον, ἐναντίος
γελώσας, γελαις
ὡς ἴδον σε βρόχεον ἐμοὶ γὰρ αὐδᾶς | ὡς γὰρ εἴδω σε βροχέας μὲ φώνας
ὁ γλῶσσαν ἔαγε | γλῶσσα δέσινε, λεπτὸν δ'
πᾶσαν ἀίρεῖ, | ἄγρε
τεθνάναι δ' ὀλίγου δέουσα | τεθνάκην δ' ὀλίγω 'πιδεύσα

Haec ex codice msc. Vossi

not. Fab. p. 143. apud scriptores frequens est, Od. XII.
145. ὄχθην de fonte m. dici; non opus est ut hic per fontem explic.
180. Graece quidem λυσίπονον λυσίφρον βάκχον. Od. XXVII. u. 2.
ib. φιλοπαίγμον dicitur. Sic & Od. XLIX. u. 3. φιλοπαίγμονες βάκχαι.
183. ἀναιμόσαρκε. uide supra.
188. φυλάττειν, legendum apparet φυλάσσειν.
ib. itaque huic odario subiici debebat illud, cuius principium est, τὸν μελανόχρωτα βότρυν n. LII.

http://digital.slub-dresden.de/ppn34684536X/40

Lesbia Musa Sappho.

Decima Musa: cuius versus a Bourdelotio correcti in animadvers. ad Heliodoru lib. I p. 12.

Ζεὺς οὔριος apud Sapphon. Burdelot. ad Heliodor. p. 81.

Sapphonem imitatus est Horatius, sed non pari semper felicitate, ut declarat Vossius ad Catullum 329. Vide Henr. Stephani in not. p. ..

Sappho prima amorē vaste tedium finxit, Burdelot. not. ad Heliodor. p. 77.

Hymnus hymenaei, sive hymnus Sapphonis a Burdelotio datus, donatusq. Antonio Mornacio, animadvers. ad Heliod. p. 106.

προπίνειν apud Anacreontē. v. Burdelot. ad Heliodor. lib. III. p. 69.

Anacreontis versus ante oculos habuit Heliodorus lib. II. Ille Bathylli oculos describens nigros trucesque, & sereno mixtos, depingit & collaudat. Odar. XXIX. conf. Burdelot. in Heliodor. lib. II. animadv. p. 59.

Anacreon coniungit, quae alii distinguunt, ut δάφνη λείπουσι, Burdelotius ad Heliodor. p. 79.

κάθισον et κάθισον δ.

Od. XXII. κάθισον· καλὸν τὸ δένδρον.
Post κάθισον interpunctione opus est. Veteres enim talia loca expetebant, & propter amoenitatem in valle, aut sub arbore umbrae & quietis caussa sedebant, voluptatemque & relaxationem a laboribus & molestiis quaerebant. Hinc non reddendum, statue, siste, sed side, conside, sede: Etsi Stephani & Faber retinent interpretationem, statue: sed perperam. Vid. Pricaeus in Matth. XVII. 4. quo ex loco patet, tabernacula sub quibus ~~quiescerent~~ considerent, et se oblectarent, fuisse collocata. Sede. pulchra arbor. sc. hic est.

Rota imago vitae currentis apud Anacreontem, quem imitatus videtur Persius Satyr. V. vid. Caussin. observat. ad Horapoll. p. 223. 224.

~~Martialis.~~ III
κύριέ μου, μέλι μου, ψυχή μου, congeris usque.
quae vocabula sunt ἐρωτικά. ut ζωή καὶ ψυχή
Iuvenalis. vid. Gronovii observat. Lib. lib. IIII
cap. 22. p. 391. 12mo

Multa sunt Anacreontis, quae ex Musaeo explicari et illustrari possent, ut κατὰ νύκτα πεπλάνημαι, Musaeus νυχιπλανον componit, quod ille pluribus circumscribit. Sic de Cupidine, de cupidinis sagittis, de amoris vi & impetu, votoq. mortis, si amatores amata potiri queant. Vid. not. Paulli Voetii in Musaeum p. 28. 29. 31. 33. sqq.

http://digital.slub-dresden.de/ppn34684536X/41

Anacreon in media Ionia natus, urbe Teio oriun-
dus, scito Poeta ingenio, sed amori nimis ui[no]
deditus, suaves multos lepidosq. uersus fecit, qui-
bus delectatus est Gellius, noct. Attic. lib. XIX. c. [I]
hinc & idem lingua Ionica usus est.

Epigrama ellipticum.

Epigramma uetus dialecto Dorica conscriptum.

μούσαισι
κόρη, κοράσιον.
τὸν ἔρων, id est, τὸν ἔ-
ρωτα. ἔρος ueteribus
usurpari solitum, ut
λόγος.

ἄρης. mars.

Ἁ Κύπρις μούσαισι, κοράσια, τὰν ἀφροδίταν
Τιμᾶτ', ἢ τὸν ἔρων ὔμμιν ἐφοπλίσομαι.
Χ' αἱ μοῦσαι ποτὶ Κύπριν, ἄρει τὰ στωμύλα ταῦτα·
Ἡμῖν δὲ οὐ πέταται τοῦτο τὸ παιδάριον.

Venus Musis (dixit) o puellae,

Musae Veneri respondent
iubent autem illam conuertere loquacitatem [uerbositatem istam] ad Mar-
tem: nam sibi aiunt a puero Veneris nihil esse pe-
riculi. Editum est ad libellum Graecae Gramaticae
Phil. Melanthonis p. 289.

Anacreontis uersus apud Athenaeum emendati.

Ἄγε δὴ φέρ' ἡμὶν ὦ παῖ
κελέβην, ὅπως ἄμυστιν
προπίω, τὰ μὲν δέκ' ἐγχέας
ὕδατος, τὰ πέντε δ' οἴνου
κυάθους, ὑβριστιάζαν
φρένα δείων βαχαρήσω.

Marcilius ad Horat. Od. p. 24.

Genus dithyrambici carminis apud Dionysium Ha-
licarnasseum, Latine conuersum a Io. Aurato, apu[d]
Ramum in lib. III de opt. gen. orat. p. 672. 673.

---

Τέλος

Seneca epist. XLIX

NEGABAT. CICERO. SI. DVPLICARETVR. SIBI. AETAS. HABITVRVM. ESE. TEMPVS QVO. LEGERET. LYRICOS. EODEM. MODO. DIALECTICOS

Landesbibliothek Dresden

http://digital.slub-dresden.de/ppn34684536X/43

Sächs. Landesbibliothek - Dresden -

http://digital.slub-dresden.de/ppn34684536X/44

http://digital.slub-dresden.de/ppn34684536X/45

http://digital.slub-dresden.de/ppn34684536X/46

Msc. Dresd.
Da. 29.

http://digital.slub-dresden.de/ppn34684536X/47

http://digital.slub-dresden.de/ppn34684536X/48